Σοφία (ἡ). ἡ ἕξις (ἡ ἱκανότης, ἡ ἀρετὴ) τοῦ σοφοῦ (»Ἅπαξ ἐχρήσατο Ὅμηρος τῷ ὀνόματι σοφίᾳ. [Ἰλ. Ο, 412], οὐ καθάπερ νῦν τὴν διὰ λόγου καὶ πραγμάτων ἐπισκευὴν τοῦ ἤθους λέγων, ἀλλὰ τὴν τεκτονικὴν τέχνην,« Σδ. »Πλάτων δὲ ἰδιαίτατα μὲν σοφίαν ἡγεῖται εἶναι τὴν τῶν νοητῶν καὶ ὄντως ὄντων ἐπιστήμην.. ἰδίᾳ δὲ σοφίαν καὶ τὴν φιλοσοφίαν καλεῖ, ὄρεξιν οὖσαν τῆς θείας σοφίας. Κοινῶς δὲ λέγεται παρ' αὐτῷ σοφία καὶ ἡ πᾶσα ἐμπειρία, οἷον ὅταν σοφὸν λέγῃ τὸν δημιουργόν,« Αρτ.)· (ἐν γέν.) γνῶσις ἐντελής, ἐπιτηδειότης (εἰς ὁποιονδήποτε ἔργον), ἐμπειρία· πολυπειρία (ἰδιαιτ.) φρόνησις (»Princepsque omnium virtutum est illa sapientia, quam σοφίαν Græci vocant; prudentia enim, quam φρόνησιν dicunt, aliam quandam intelligimus,« Cic. De offic. 3 [1, 43]), εὐβουλία· τέχνη, πανουργία. »Ἐὰν μοι τοῦτο ἐπιτελέσῃς σοφίῃ καὶ μὴ βίῃ,« Ἡρ., μὲ ἐπιτηδειότητα, μὲ τρόπον. »Εἰ νῦν ἔχεις σοφίην, μηχανῶ ὡς κτλ.« αὐτ., ἴδε καὶ Σοφιστὴς (2.

Σοφίζω, Μ. ίσω. Κάμνω τινὰ σοφὸν (ἔμπειρον, φρόνιμον)· (Γρφ.) = Συνετίζω. (ὡς ἐπὶ τὸ πλ. πθ. ἢ μσ.) »Ναυτιλίης ϗ νηῶν σεσοφισμένος,« Ἡσ., εἰδήμων, ἔμπειρος. 2) (συνήθ. μσ. μὲ αἰτ.) ἐπινοῶ (ἐφευρίσκω) τι σοφῶς (εὐφυῶς) ἢ σοφιστικῶς (μὲ πονηρίαν καὶ ἐπὶ σκοπῷ νὰ ἀπατήσω), δολιεύομαι, νοθεύω (»Τὴν πορφύραν —,« Φλστρ). ἀπατῶ.

»Μή με σοφίζου, κούφην μοι στεγάζων ἀντιδιδοὺς κολάσιμην,« Ἐπιγρ. »Ἀλλ' ἑκάστας ἰδέας σοφίζομαι,« Ἀρστφ. »Οὔτε σοφίζεται αὐτοῖσι τοιόνδε,« Ἡσ. »Πρὸς ὧν ταῦτα σοφίζονται (οἱ ἄλλοι) τόδε« αὐτ. »Τοιαῦτα καὶ ἡμεῖς, νέοι ὄντες, ἐμελετῶμεν καὶ ἐσοφιζόμεθα,« Ξεν. »Ψέγουσι πολλοὶ τοὺς νῦν σοφιστάς, ὅτι ἐν τοῖς ὀνόμασι σοφίζονται, καὶ οὐκ ἐν τοῖς νοήμασιν,« αὐτ. (καὶ προθετ.) »Σοφίζεσθαι πρὸς τὸν νόμον,« Πλ., ἀντιτάττειν σοφίσματα (στρεψοδικεῖν), (ὀθ. πθ.) »Σεσοφισμένος,« Γρφ., σοφιστικός, ἀπατηλός, ἢ· σοφίας μέτοχος, ἔμπειρος, φρόνιμος. »Βέλτερος ἀλκήεντος ἔφυ σεσοφισμένος ἀνήρ,« Φωκυλ. (καὶ μὲ γεν.) »Οὔ τι ναυτιλίης σεσοφισμένος οὔτε τι νηῶν,« Ἡσ. 3) (Γρφ.) ἐννοῶ, συμπεραίνω. »Ἐσοφίσαντο ὅτι Κύριος κέκληκε τὸ παιδάριον,« Βασ.λ.

Σόφισμα (τό). τὸ εὐφυῶς ἢ (ἐπὶ κακοῦ) σοφιστικῶς ἐπινοηθὲν τέχνασμα· (ἰδιαιτ. παρὰ τοῖς διαλεκτ. καὶ Ῥητορ.) ἐρώτημα ἢ συμπέρασμα ἀπατηλὸν (στηριζόμενον εἰς ψευδῆ συλλογισμόν).

†Σοφισματίας, ου (ὁ). σοφιστὴς ἐπιτήδειος.

Σοφισματικός, ή, όν. Σοφίσματι ὅμοιος· σοφιστικός. ‖. (οὐσ.) = Σοφιστής.

Σοφισμάτιον (τό), ὑποκορ. τοῦ Σόφισμα.

Σοφισματώδης, εος (ὁ, ἡ). ὁ ἐν εἴδει σοφίσματος, σοφίσματι ὅμοιος.

Σοφισμός (ὁ). τὸ σοφίζεσθαι, ἢ διὰ σοφισμάτων ἑρμηνεία

Σοφιστεία (ἡ). τὸ ἔργον (ὁ τρόπος) τοῦ σοφιστοῦ, ἡ σοφιστικὴ τερθρεία.

Σοφιστέον, θετ. τοῦ Σοφίζω.

Σοφίστευμα (τό). τέχνασμα (ἐπίνοια) σοφιστοῦ, σόφισμα.

Σοφιστεύω, Μ. εύσω. Πράττω (Διδάσκω) ὡς σοφιστής, μετέρχομαι (ἐπαγγέλλομαι) τὸ ἔργον τοῦ σοφιστοῦ. ‖. (μτφρ.) καλλωπίζω ἢ ἐπινοῶ σοφιστικῶς.

Σοφιστήριον (τό). διδακτήριον (ἀκροατήριον) σοφιστοῦ. 2) μέσον πρὸς σοφισμόν, τέχνασμα, σόφισμα.

Σοφιστής [σοφίζω], οῦ (ὁ). (κυρ ϗ ἀρχ.) σοφὸς (ἱκανός, ἔξοχος) εἰς ὁποιονδήποτε ἔργον ἢ ἐπάγγελμα, τεχνίτης ἄριστος εἰς τὸ εἶδός του· (ἰδιαιτ.) ποιητὴς ἢ· μουσικός· (ἐν γέν.) φιλόσοφος. »Οἱ πάντες ἐκ τῆς Ἑλλάδος σοφισταί, οἳ τοῦτον τὸν χρόνον ἐτύγχανον ἐόντες, ϗ δὴ καὶ Σόλων,« Ἡρ., οἱ (ἄλλ.) ἑπτὰ σοφοί· »Ἑλλήνων οὐ τῷ ἀσθενεστάτῳ σοφιστῇ Πυθαγόρῃ,« αὐτ. 2) (ὑστερώτερα) διδάσκαλος τῆς ῥητορικῆς (τῆς πολιτικῆς, τῆς ἠθικῆς κτλ. [ἐν γέν.] τῆς φιλοσοφίας)· πανεπιστήμων· (ὅθ. ἐπὶ κακοῦ) ἀλαζών, ἀπατεών, τσαρλατάνος (ὁποῖοι καταντοῦν συνήθ. οἱ τὰ πάντα ἐπαγγελλόμενοι). »Τοὺς τὴν σοφίαν ἀργυρίου τῷ βουλομένῳ πωλοῦντας, σοφιστὰς ἀποκαλοῦσι,« Ξεν. »Ἔστι γὰρ ὁ σοφιστὴς χρηματιστὴς ἀπὸ φαινομένης σοφίας, ἀλλ' οὐκ οὔσης,« Ἀρστ. »Τὴν καλουμένην σοφίαν, οὖσαν δὲ δεινότητα πολιτικὴν καὶ δραστήριον σύνεσιν, δικανικαῖς μίξαντες τέχναις, ϗ μεταγαγόντες ἀπὸ τῶν πράξεων τὴν ἄσκησιν ἐπὶ τοὺς λόγους, σοφισταὶ προσηγορεύθησαν,« Πλ. »Λογογράφους καὶ σοφιστὰς ἀποκαλῶν τοὺς ἄλλους καὶ ὑβρίζειν πειρώμενος,« Δμ. »Οἱ σοφισταὶ δὲ ἐπὶ τῷ ἐξαπατᾶν λέγουσι καὶ γράφουσιν ἐπὶ τῷ ἑαυτῶν κέρδει, καὶ οὐδένα οὐδὲν ὠφελοῦσιν· οὐδὲ γὰρ σοφὸς ἐγένετο αὐτῶν οὐδεὶς οὐδ' ἔστιν, ἀλλὰ καὶ ἀρκεῖ ἑκάστῳ σοφιστὴν κληθῆναι, ὅ ἐστιν ὄνειδος παρά γε τοῖς εὖ φρονοῦσιν,« Ξεν. »Δεδιότες.. τὸν ἔπειτα χρόνον, μὴ σοφισταὶ καλῶνται,« Πλάτ. 3) ῥήτωρ (κ.ρ. ὁ γράφων ἢ δημηγορῶν πρὸς ἐπίδειξιν), (Γαλλ.) declamateur. »Ὥστε μηδένα δυνηθῆναι μήτε τῶν ποιητῶν, μήτε τῶν σοφιστῶν, ἀξίως τῶν ἐκείνοις πεπραγμένων εἰπεῖν,« Ἰσκρ. »Ἰσοκράτης σοφιστὰς μὲν τοὺς περὶ τὴν ἔριν καὶ τοὺς.. διαλεκτικοὺς ἀποκαλεῖ, φιλόσοφον δ' ἑαυτὸν καὶ τοὺς ῥήτορας,« Ἀρσδ. »Σοφιστῶν θεαταῖς ἐοικότες καθήμενοι, μᾶλλον, ἢ περὶ πόλεως βουλευομένοις,« Θκ. »Τοῖς γὰρ σοφισταῖς ἐφεῖται πρὸς ἐργασίαν ἢ δόξαν ἔστιν ὅτε τῶν λόγων κοσμεῖν τὸν ἥττονα παραλαμβάνοντας,« Πλ.

Σοφιστιάω-ῶ (ἄχρ. εἰς τοὺς ἄλλ. χρν.). Πράττω ἢ Γράφω ἢ Ὁμιλῶ ὡς σοφιστὴς (μὲ σοφιστικὴν δεινότητα), ἐπιδεικτιῶ σοφιστικῶς.

Σοφιστικός, ή, όν. Σοφιστοῦ ἴδιος, ἀπατηλός. ‖. »Σοφιστικὴ (ἡ), ἡ τέχνη (τὸ ἐπάγγελμα) τοῦ σοφιστοῦ. »Τὴν ἀρχαίαν σοφιστικήν, ῥητορικὴν ἡγεῖσθαι χρὴ φιλοσοφοῦσαν,« Φλστρ.

Σοφιστικῶς, ἐπίρ. Μὲ σοφιστικὸν (ἀπατηλὸν) τρόπον, μὲ σοφίσματα.

Σοφιστομανέω-ῶ, Μ. ήσω. Εἶμαι ἐνθουσιασμένος (Ἔχω μανίαν) διὰ τοὺς σοφιστάς. »Σοφιστομανοῦσιν Ἀθήνησι τῶν νέων οἱ πλεῖστοι ϗ ἀφρονέστεροι,« Γρηγ.

Σοφίστρια (ἡ), θηλ. τοῦ Σοφιστής.

†Σοφοδότις, ιδος (ἡ). δότειρα (χορηγός) τῆς σοφίας.

†Σοφόδωρος (ὁ, ἡ). ὁ δωρούμενος σοφίαν.

Σοφόνους (ὁ, ἡ). σοφὸς τὸν νοῦν, εὐφυής, (παρβλ.) Θυμόσοφος.

†Σοφοποιέω-ῶ, Μ. ήσω. Κάμνω τινὰ σοφόν, σοφίζω.

†Σοφοποίησις, εως καὶ

Σοφοποιία (ἡ), τὸ οὐσ. τοῦ προηγ.

Σοφοποιός (ὁ, ἡ). σοφίας ἐμποιητικός, σοφοδότης.

Σοφός [συγγ. τῷ Σαφής, ὅθ. τὸ Λτν. sapiens], ή, όν. (κυρ.) ἱκανὸς (εἰς ὁποιονδήποτε ἔργον)· ἄριστος εἰς τὸ εἶδος του, ἐπιτήδειος (»Τὸν δ' οὔτ' ἄρ σκαπτῆρα θεοὶ θέσαν, οὔτ' ἀροτῆρα, οὔτ' ἄλλως τι σοφόν,« Ὅμ. [καὶ πρὸς ἀπαρ.] »Μίαν κύνα, ἥτις ἂν ᾖ σοφωτάτη ἰχνεύειν,« Ξεν.)· (ἐν γέν.) ἐπιστήμων, ἔμπειρος (»Πότερα οἱ δοκοῦσιν οἱ σοφοί, ἃ ἐπίστανται, ταῦτα σοφοὶ εἶναι, ἢ εἰσί τινες ἃ μὴ ἐπίστανται σοφοί; Ξεν. »Πάντα σοφὸν οὐχ οἷόν τε ἄνθρωπον εἶναι,« = »Οὐδεὶς ἀνθρώπων αὐτὸς ἅπαντα σοφός,« Θγν.)· πολύπειρος· φρόνιμος (»Σοφήν γ' ἔλεξας τὴν ἑκούσιον φυγήν,« Εὐρ. »Ὡς πολλά γ' ἐστὶ κἀπὸ θηλειῶν σοφά,« αὐτ. »Σοφὸν δὲ ἦν τὸ ἀποθῆναι νέφος,« Συν.)· (ἐνίοτε) δεινός, πολύτροπος (»Δαρείῳ ἦν ἱπποκόμος ἀνὴρ σοφός,« Ἡρ.)· (συχν.) πεπαιδευμένος, λόγιος (»Ὁ χρήσιμ' εἰδώς, οὐχ ὁ πόλλ' εἰδὼς σοφός,« [Αἰσχλ. παρὰ] Στβ. »Σοφῆς ἀφ' Ἑλλάδος,« Ἀρστ »Χρὴ δ' οὔποθ', ὅστις ἀρτίφρων πέφυκ' ἀνήρ, παῖδας περισσῶς ἐκδιδάσκεσθαι σοφούς,« Εὐρ.)· (Γρφ.) μάγος ἢ ἐπαοιδὸς (»Ὡσεὶ ἀσπίδος.. ἥτις.. φαρμακοῦται φαρμακευομένου παρὰ σοφοῦ,« Ψαλμ.)· (ἐπὶ πραγμ.) φρονίμως ἐσκεμμένος. »Σοφὰ φάρμακα,« Θκρ. »Καὶ οἱ ζωγράφοι καὶ οἱ τέκτονες εἰσὶ τῶν σοφῶν ἐπιστήμονες,« Πλάτ. »Τοῦτο Θάλεω τὸ σοφόν,« Πλ. »Τὸ σοφὸν θεῷ μόνῳ πρέπειν,« Ἀθ. »Οὐδὲν ποικίλον, οὐδὲ σοφόν,« Δμ. »Οὐδὲν τὸ σοφόν μοι ἐγένετο,« Πλάτ., ἡ φρόνησις ἢ ἡ πανουργία μου δέν μοι ἐχρησίμευσε.

†Σοφόω-ῶ. Μ, ώσω. Κάμνω τινὰ σοφόν, σοφίζω.

Σοφῶς, ἐπίρ. Μὲ σοφίαν, ἐπιτηδείως, φρονίμως, ἐσκεμμένως κτλ. »Ταύτην σοφώτατ' ἔχειν τῶν ἐμῶν κωμῳδιῶν,« Ἀρστ.

Σόω, ῃς, ῃ, Π. ἀντὶ Σώσω, ἀόρ. τῆς ὑποτ. τοῦ Σόω = Σώζω, (ὅθ.

†Σωδίνη (ἡ), Π. ἡ σώζουσα τὰς δίνας (τὰ ῥεύματα), ἔφορος τῶν ῥυάκων, (ἐπίθ. τῆς Ἀρτεμ.).

†Σοοναύτης, ου (ὁ). ὁ σώζων τοὺς ναύτας »Λιμὴν —,« Σχλ., (ὅπου ἄλλ. ἀνγν Σωοναύτης).

Σπαδίζω [σπάω], Μ. ίσω καὶ Ἰων. ίξω. Τεντώνω (καθὼς οἱ βυρσοδέψαι τὰ δέρματα), (παρβλ.) Θρανεύω. »Σπαδίξας τὸ δέρμα,« Ἡρ., ἐκδείρας.

Σπάδιξ [σπάω], ικος (ἡ). κλωνάρι ξεμασχαλισμένον ἀπὸ τὸ δένδρον· (ἰδιαιτ.) κλωνάρι φοίνικος μὲ τὸν καρπόν του, (παρβλ. Σπάθη). 2) ἡ φλοῦδα τῆς ῥίζης τοῦ πρίνου. 3) εἶδ. μουσ. ὀργ. 4) (ὡς ἐπίθ.) ὁ ἔχων τὸ χρῶμα τοῦ φοίνικος, (Λτ.) spadiceus.

†Σπάδιον (τό), Δ. ἀντὶ Στάδιον.

Σπαδονίζω [σπάδων] Μ. ίσω, = Σπαράττω, (Γαλλ.) tirailler· διακόπτω, διασπῶ. »Τὸν ἦχον —,« Δ. Ἀλ.

Σπαδονικός, ή, όν. Διεσπασμένος, διακεκομμένος. »Ἦχος —,« Μουσικ.

Σπαδόνισμα (τό), = Σπάραγμα. 2) = τῷ

Σπαδονισμός (ὁ), τὸ οὐσ. τοῦ Σπαδονίζω, σπαραγμός, (Γαλλ.) tiraillement· διασπασμός. »Ἦχων —,« Δ. Ἀλ.

Σπάδων [σπάω], όνος (ἡ). σπασμὸς ἢ σπάσις. »Ὁπόταν τι τῶν φλεβίων σπασθὲν μὴ ῥαγῇ παντελῶς, ἀλλὰ σπαδὼν (γρφ. σπαδών) ἐν αὐτῷ γένηται· γίνεται δὲ μάλιστα οἷον κιρσός,« Ἱπποκρ.. (συγχ. τῷ

Σπάδων, ωνος καὶ οντος (ὁ). εὐνοῦχος (τοῦ ὁπ. ἀπεσπάσθησαν οἱ ὄρχεις), ἐκτομίας.

;Σπαθάλιον (τό), = Σπατάλιον.

†Σπαθαρίσκος (ὁ), = [σπαθάω]. ὕφασμα λεπτὸν καὶ κρουστὸν (καθὼς τὸ ἐδικόν μας μπρουντζοῦκι ἢ κρεπόνι· τὸ ὁπ. μετεχειρίζοντο αἱ γυναῖκες τῆς Ἀσ. ὡς σκέπασμα (voile), (παρβλ.) Θέριστρον.

Σπαθατός, ά, όν, Δ. ἀντὶ Σπαθητός.

Σπαθάω-ῶ, Μ. ήσω. Κτυπῶ τὸ ὕφασμα

μὲ τὴν σπάθην ἵνα γένῃ κρουστόν· (ἐν γέν.) ὑφαίνω (κυρ. ἢ μτφ.). »Διὰ τοῦτ' ἐσπαθᾶτο ταῦτα,« Δμ. 2) (συχνότ. μτφορ.) ἐξοδεύω πολλὰ (καθὼς καὶ εἰς τὸ κρουστὸν πανὶ ὑπάγει πλειότερον νῆμα). ἀσωτεύω. καταναλίσκω· (χωρὶς πτ.) =Σπαταλῶ. ξεφαντόνω. »Σπαθίσεις δὶς ἢ τρὶς τῆς ἡμέρας,« Αχ. (ἢ πθ.) »Πάντα τὰ τῶν ἀνθρώπων ἀχρείως φέρεται καὶ σπαθᾶται,« Πλ. (ἴδε Ἀρσφ. Νεφ. 54, ὅπου καὶ λογοπαίγνιον εἰς ἀμφοτέρας τὰς σημασ.)

Σπάθη (ἡ), [σπάω]. ἐργαλ. ὑφαντ. μὲ τὸ ὁπ. ἐκτυποῦσαν τὸ πανὶ (εἰς τὸν ὀρθὸν ἐργαλειόν) ἵνα γένῃ κρουστὸν (καθὼς τώρα μὲ τὸ) κτένι. 2) εἶδ. σπαθιοῦ μὲ πλατεῖαν ἄκραν. 3) ἐργαλ. τῶν χειρούργων καὶ φαρμακοποιῶν, (Λτν.) spatula. 4) τὸ πλατὺ μέρος (ἡ ἄλλ. Πλάτη) τοῦ κωπιοῦ καὶ 5) τῆς πλευρᾶς. 6) ἡ ὠμοπλάτη, (Λτν.) spalla. 7) ξυστρὶ τοῦ ἀλόγου. 8) τὸ στυλάρι τῶν φύλλων καὶ τοῦ καρποῦ τοῦ φοίνικος, (παρβλ. Σπάδιξ). »Ὁ μὲν ἄῤῥην ἄνθος πρῶτος φέρει ἐπὶ τῆς σπάθης, ἡ δὲ θήλεια καρπόν,« Θφρ.

Σπάθημα (τὸ). ὕφασμα σπαθητὸν (κρουστόν)· (μτφορ.) »Φρενῶν—,« Σδ., (γιερὸς νοῦς, ἄλλ.) = Πυκναὶ φρένες.

Σπάθησις, εως (ἡ), τὸ σπαθᾶν, ἡ διὰ τῆς σπάθης πύκνωσις τοῦ ὑφάσματος· (μτφορ.) σπατάλη, ἀσωτεία.

Σπαθητής, οῦ (ὁ). ὁ σπαθῶν (σπαταλῶν), κακοξοδευτής.

Σπαθητὸς [σπαθάω], ή, όν. (κυρ. ἐπὶ ὑφάσμ.) Πυκνός, (κοιν.) κρουστός.

Σπαθηφόρος (ὁ, ἡ). ὁ φέρων (κρατῶν) σπάθην.

Σπαθίας, ου (ὁ), Π. ὁ ἀνήκων εἰς τὰς σπάθας (τὰς πλευράς). »Σπαθίης κτείς,« Ὀππ., τὸ κτένι τὸ ὁπ. σχηματίζει τὸ κουφάρι τοῦ ζώου μὲ τὰς πλευράς, (Γαλλ.) la carcasse, (ἴδε καὶ Σπάθιος).

Σπαθίζω, Μ. ίσω. Ἁπλόνω ἢ Ἀνακατόνω τι διὰ τῆς (φαρμακοπ.) σπαθίδος. 2) (νλγ.) κτυπῶ μὲ τὸ σπαθί.

†Σπαθιαῖος, α, ον καὶ

Σπαθίνης, ου (ὁ). (κυρ. ἔλαφος) τοῦ ὁπ. τὰ κέρατα εἶναι ἀκόμη πλατειὰ εἰς τὴν ἄκραν (ὡσὰν σπαθιά), (δηλ.) νέος, (παρβλ.) Ἀγαίνης, (Γαλλ.) daguet.

Σπάθιον (τὸ), ὑποκορ. τοῦ Σπάθη.

Σπαθίς, ίδος (ἡ), ὑποκορ. τοῦ Σπάθη (κυρ. τῶν φαρμακοπ.). 2) εἶδ. ὑφάσματος, (ἴδε Σπαθαρίσκος).

†Σπάθισμα (τὸ), = Σπαδόνισμα.

†Σπαθισμὸς (ὁ), (νλγ.) κτύπημα μὲ τὸ σπαθί, σπαθιά.

†Σπαθιστὴρ (ὁ), εἶδος χειρουργ. ἐργαλείου.

Σπαθίτης, ου (ὁ). (κυρ. οἶνος) ἐσκευασμένος μὲ σπάθην (φοίνικος).

Σπαθομήλη (ἡ), ἐργαλ. χειρουργ., μήλη εἰς σχῆμα σπάθης (3.

†Σπαθοποιὸς (ὁ). ὁ κατασκευάζων σπάθας (σπαθιά).

Σπαθοφοίνικον (τὸ). ἡ ἀνθηφόρος σπάθη τοῦ φοίνικος.

;Σπαθόφυλλος (ὁ, ἡ). (βτν.) ὁ ἔχων φύλλα εἰς σχῆμα σπάθης, (ἄλλ. διορθ. Σπανόφυλλος).

Σπαίρω (παρτ. Ἔσπαιρον), [σπάω]. Πηδῶ ὡσὰν τὸ ὑψάρι εἰς τὴν ξηράν, σπαρταρῶ· κλωτσῶ ὡσὰν τὸ ζῶον ὅταν τὸ σύρουν μὲ βίαν ἢ τὸ σφάζουν, παραδέρνω ὡσὰν τὸν ψυχομαχοῦντα. σφαδάζω, (συνκδχ.) ἀντιτείνω, (εὐχρηστότ. τὸ) Ἀσπαίρω.

†Σπάλαθρον (τὸ), κατὰ διαλεκτ. ἀντὶ Σκάλευθρον.

Σπαλακία (ἡ). πάθος τι τῶν ὀφθαλμ., ἀμβλυωπία, [ἐκ τοῦ

Σπάλαξ, ακος (ἡ), κατὰ διάλεκτ. ἀντὶ Σκάλοψ, (εὐχρηστότ. τὸ) Ἀσπάλαξ.

;Σπάλεθρον (τὸ), = Σπάλαθρον.

†Σπάλιον (τὸ), κατὰ διαλεκτ. ἀντὶ Ψάλιον καὶ

†Σπάλις, ιδος (ἡ), Αἰολ. ἀντὶ Ψαλίς, (ὅθ.

Σπαλίων, ωνος (ὁ), εἶδ. σκεπαστῆς πλεκτῆς (Γαλλ. σπαλλιέρας) ὑπὸ τὴν ὁπ. εἰργάζοντο οἱ πολιορκοῦντες, (Γαλλ.) gabion.

Σπαναδελφία (ἡ). σπάνις ἀδελφῶν, [ἐκ τοῦ

Σπανάδελφος (ὁ, ἡ). ὁ ἔχων σπάνιν ἀδελφῶν (ὀλίγους ἀδελφ.).

Σπανανδρία (ἡ) σπάνις ἀνδρῶν, λειψανδρία.

†Σπάνη καὶ

†Σπανία (ἡ), ἀντὶ Σπάνις, σπανιότης, (παρβλ. Ἱσπανία).

Σπανιάκις, ἐπίρ. Σπανίως.

Σπανίζω (καὶ μσ.) -ίζομαι Εἶμαι σπάνιος. »Τοῦ ἐλαίου σπανίζοντος,« Ἀρσφ. (καὶ μσ. ἢ πθ.) »Χρόνῳ σπανίζεται θάλασσα,« Γρφ. »Ἐσπανίσθη πᾶν ὕδωρ,« αὐτ. 2) (μὲ γεν.) ἔχω σπάνιν (ἔλλειψίν) τινος πράγματος, στεροῦμαι, Ἐνδέεμαι. »Φίλων —,« Εὐρ. »Δοκεῖς σπανίζειν δῶμα βασίλειον πέπλων; αὐτ. (ἢ μσ.) »Μάλα ἐπιέζοντο οἱ Φλιάσιοι, καὶ ἐσπανίζοντο τῶν ἐπιτηδείων,« Ξεν. (καὶ δοτ.) »Οἴνῳ δὲ σπανίζονται· τὸν δὲ γινόμενον ταχὺ ἀναλίσκουσι,« Στρβ. 3) (σπν. μτβτ.) κάμνω τι νὰ γένῃ σπάνιον. »Τοσοῦτον δ' ὁ τεχνίτης ἐδαπάνησε χαλκόν, ὅσος σπανίζειν ἔμελλε τὰ μέταλλα,« Φιλ.

Σπάνιος [σπάνις], α, καὶ (σπν.) ος, ον. Ὁ εὑρισκόμενος σπανίως (ἀραιὰ ἢ ποῦ), ὀλιγοστός, δυσεύρετος. »Παρ' ἡμῖν τοῦτό ἐστι τὸ σὺ λέγεις· ἔστι γε μέν τοι οὐ πολλόν, ἀλλὰ σπάνιον,« Ἡρ. »Ἐν Πέρσαις καὶ ἰδεῖν ἵππον, σπάνιον,« Ξεν. (ἢ κατ' ἀνάλ. ἀπαρεμφ. ἢ μτχ.) »Σπάνιον εὑρεῖν ὅς τις ἂν ἀπόσχοιτο,« Πλάτ. »Ἡ δὲ χώρα αὕτη σπάνιον εἴ τι που τῶν καρπίμων δένδρων φύοι,« Στρβ.

Σπανιότης (ἡ). τὸ νὰ ἦνε τι σπάνιον.

Σπάνις [σπανὸς], εως (ἡ), = Σπανιότης, ὀλιγότης, ἔλλειψις, ἔνδεια. »Ἡ γὰρ σπάνις πρόχειρος εἰς τὸ δρᾶν κακά,« (;Φιλήμ. παρὰ) Στβ., ἡ ἔνδεια. (ἢ μετὰ γεν.) »Ἦν δὲ του σπάνιν τιν' ἴσχῃς,« Σοφ. »Πιεζόμενοι σπάνει σίτου,« Ξεν. (ἢ ἐνν. τοῦ πράγμ.) »Τροφαῖς αἷς ἐν τῇ μεγάλῃ σπάνει παρέσχεν,« Ἐπγρ., σιτοδεία.

†Σπανισμὸς (ὁ), σπν. ἀντὶ Σπάνις.

Σπανιστός, ή, όν. Τοῦ ὁπ. σπανίζει (ἔχει σπάνιν) τις, ὀλιγοστός, σπάνιος· (μὲ γεν.) ὁ ἔχων σπάνιν τινός, ἐνδεής. »Ἡ δὲ παραλία (τῆς Περσίδος) σπανιστὴ καρποῦ ἐστι πλὴν φοινίκων,« Στρβ.

Σπανίως, ἐπίρ. Ἀραιὰ καὶ ποῦ, ὀλιγάκις.

Σπανοκαρπία (ἡ). σπάνις καρπῶν.

Σπανόουρος (ὁ, ἡ). ὁ ἔχων σπανὴν (ἀραιότριχον) οὐράν.

Σπανοπόλιος (ὁ, ἡ), ἴδε Σπαρνοπόλιος.

Σπανοπώγων, ωνος (ὁ). σπανογένης, [πώγων καὶ

Σπανός, ή, όν, = Σπάνιος. (μὲ γεν.) ἐλλειπὴς τινος, (ἐνίοτε) = Σπανοπώγων.

Σπανοσιτεία (ἡ). σπάνις σίτου ἢ τροφῶν, σιτοδεία, [ἐκ τοῦ

Σπανόσιτος (ὁ, ἡ). ὁ ἔχων σπάνιν σίτου ἢ τροφῶν.

Σπανόσπερμος (ὁ, ἡ). ὁ ἔχων σπάνιν σπέρματος (ὀλίγους σπόρους).

Σπανόουρος (ὁ, ἡ). ὁ ἔχων σπανὴν (ὀλιγότριχον) οὐράν.

Σπανότεκνος (ὁ, ἡ). ὁ ἔχων σπάνιν τέκνων (ὀλίγα τέκνα).

Σπανόφυλλος (ὁ, ἡ), (βτν.). ὁ ἔχων σπανὰ (ἀραιὰ) φύλλα.

Σπάνυδρος (ὁ, ἡ). ὁ ἔχων σπάνιν ὕδατος. (ἐπμ., ποτιζόμενος σπανίως.

Σπάραγμα (τὸ). κομμάτι σώματος ἐσπαραγμένου, θραῦσμα, τεμάχιον, ἀπόσπασμα, (ἐπὶ φυτ.) = Παρασπάς. 2) = Σπαραγμός. »Ἄλλαι δὲ δαμάλας διεφόρουν σπαράγμασιν,« Εὐρ.

Σπαραγματώδης, εος (ὁ, ἡ). ὁ προξενῶν ἢ ὁμοιάζων μὲ σπαραγμόν. »Κραυγὴ —,« Πλ.

Σπαραγμὸς (ὁ). τὸ σπαράττειν, ξεσχισμός. κομματιασμὸς (δι' ἑλκυσμοῦ)· σπασμός.

Σπαραγμώδης, εος (ὁ, ἡ), = Σπαραγματώδης, ἢ Σπασμώδης (;).

Σπαράκτης, ου (ὁ). ὁ σπαράττων (ξεσχίζων ἢ [;] προξενῶν σπασμούς;).

Σπαρακτικός, ή, όν, (καὶ ἐπίρ.) -ικῶς. 1) πρὸς τὸ σπαράττειν ἐπιτήδειος, ξεσχιστικός.

Σπαράκτρια (ἡ), θηλ. τοῦ Σπαράκτης.

Σπάραξις, εως (ἡ) = Σπαραγμός.

Σπαράσσω -ττω, Μ. άξω, [σπάω]. Τραβῶν ξεσχίζω (κομματιάζω), κατεξεσχίζω. »Κόμην —,« Εὐρ. »Ὥσπερ τὰ σκυλάκια τῷ ἕλκειν ἢ σπαράττειν χαίροντες,« Πλ. 2) προξενῶ σπασμόν. »Σπαράττειν τὸν στόμαχον δακτύλων ἢ πτερῶν καθέσεσι,« Γαλ. (καὶ μσ.) »Σπαρασσόμενοι ἀνεμέτως,« Ἱππκρ.

Σπαργανάω-ῶ, Μ. ήσω καὶ

Σπαργανίζω, Μ. ίσω, = Σπαργανόω.

Σπαργάνιον (τὸ), ὑποκορ. τοῦ Σπάργανον. 2) εἶδος φυτοῦ (βουτόμου;), (Γαλλ.) κορδέλλα τοῦ νεροῦ.

Σπαργανιώτης, ου (ὁ), Π. τυλιγμένος μὲ σπάργανα, φασκιωμένος (ἐπιθ. τοῦ Ἑρμοῦ, παρβλ. Εἰραφιώτης.

Σπάργανον (τὸ), [σπάργω]. (ἐν γέν.) κομμάτι πανιοῦ, κουρέλι (»Τηλέφου τὰ σπάργανα,« Ἀρσφ.) (ἰδιαιτ. εἰς τὸ πληθ.) φασκιὰ μικροῦ παιδιοῦ, σπαργανίδα· (συνκδχ.) νηπιότης. »Ἐξ ἔτι σπαργάνων,« »Ἐξ αὐτῶν (»Ἐκ πρώτων) σπαργάνων,« Φιλ., Σξτ.

Σπαργανόω-ῶ, Μ. ώσω. Τυλίζω τὸ βρέφος μὲ σπάργανα, φασκιόνω, σπαργανόνω.

Σπαργάνωμα (τὸ). τὸ ἐσπαργανωμένον. 2) = Σπάργανον.

Σπαργάνωσις, εως (ἡ), τὸ οὐσ.) τοῦ Σπαργανόω. σπαργάνωμα, φάσκιωμα(;). 2) (ἰατρ.) =(ἢ ἐσφαλμ. ἀντὶ) Σπάργωσις. »Μαστῶν τε περίτασιν καὶ σπαργάνωσιν πραΰνει,« Δσκρ.

Σπαργάω-ῶ, Μ. ήσω. (κυρ. ἐπὶ μαστῶν) Εἶμαι γεμᾶτος (πρισμένος, τεντωμένος ἀπὸ τὸ πολὺ) γάλα, (ἐν γέν.) ἔχω πληθώραν χυμῶν ζητούντων διέξοδον, εἶμαι πλήρης γονιμότητος (κυρ. καὶ μτφορ.), στενοχωροῦμαι ἀπὸ ὁποιονδήποτε σφοδρὸν πάθος, ἔχω ἀνάγκην νὰ ξεσπάσω (νὰ ξεθυμάνω), (παρβλ.) Ὀργάω καὶ Σφριγάω, [ἐκ τοῦ

Σπαργὴ (ἡ), [συγγ. τῷ Ὀργή]. τὸ τέντωμα τῶν βυζιῶν ὅταν ἦνε γεμᾶτα γάλα· (ἐν γέν.) ὀργασμός, σφοδρότης ἐπιθυμίας.

(Σπάργω), Μ. σπάρξω, Π. [σπάω]. Τυλίζω, φασκιόνω.

Σπάργωσις, εως (ἡ). ἡ κατάστασις τῶν σπαργώντων μαστῶν, ἴδε Σπαργάνωσις.

Σπαρῆναι, πθ. ἀόρ. β'. τῆς ἀπαρ. τοῦ Σπείρω.

†Σπαρίζω, Μ. ίσω, Γρμτ. ἀντὶ Σκαρίζω, πηδῶ, σπαρταρῶ.

Σπαρνοπόλιος (ὁ, ἡ). ὁ ἔχων ποῦ ἢ ποῦ μερικαῖς ἄσπραις τρίχαις, (ἄλλ. γρφ.) Σπανοπόλιος, [πολιὸς καὶ

Σπαρνός, ή, όν, Π. ἀντὶ Σπανός, σπάνιος. (κυρ.) σποράδην κείμενος, (Γαλλ.) clair-semé. ‖. (τὸ οὐδ.) Σπαρνόν, ἐπίρ. ἀντὶ Σπανίως. »Σπαρνὸν... ἄστυ κάτεισι,« Καλλ.

Σπάρξαν, Π. ἀντὶ Ἔσπαρξαν, γ'. πληθ. προσ. τοῦ ἀορ. τοῦ (ἄλλ. ἄχρ.) Σπάργω.

Σπάρος (ὁ), [σπαίρω], εἶδος ἰχθ., (κοιν.) σπάρος, (παρβλ. Σκάρος).

Σπαρταγενής, έος (ὁ, ἡ). γεννημένος εἰς τὴν Σπάρτην, γέννημα τῆς Σπάρτης. 2) ὁ γεννῶν (παράγων) σπάρτον.

Σπαρτέον, θετ. τοῦ Σπείρω.

Σπάρτη (ἡ). σχοινίον (κυρ. ἀπὸ σπάρτον), φλαμουρόσχοινον· (ἰδιαιτ.) = Στάθμη.

;Σπαρτία (ἡ). ἡ ἐκ σπάρτων συρματὶς (σκοῦπα).

Σπάρτινος, η, ον. Καμωμένος ἀπὸ σπάρτα. ‖. (οὐσ.) Σπαρτίνη (ἐνν. ὁρμιὰ ἢ σχοῖνος), = Σπάρτη.

Σπαρτίον (τὸ), ὑποκορ. τοῦ Σπάρτον ἢ Σπάρτη. σχοινάκι.

;Σπαρτιοχαίτης, ου (ὁ), Π. ὁ ἔχων χαίτην ἢ μαλλιὰ μὲ χρῶμα σπαρτίου, ψαρός. 2) (ἴσ.) ἐσφαλμ. ἀντὶ Σπαρνοχαίτης, ἔχων ἀραιὰ μαλλιά.

Σπαρτόδετος (ὁ, ἡ), Π. δεμένος μὲ (σχοινὶ ἀπὸ) σπάρτον.

Σπάρτον (τὸ) σχοινὶ (κυρ. ἀπὸ σπάρτον), φλαμουρόσχοινον, παλαμάρι. »Δοῦρα σέσηπε νεῶν, καὶ σπάρτα λέλυνται,« Ἰλ. Β. 2) = Σπάρτος (;).

Σπαρτοπλόκος (ὁ, ἡ). ὁ πλέκων σπάρτα, σχοινοπλόκος.

;Σπαρτοπόλιος (ὁ, ἡ), =(ἢ ἐσφαλμ. ἀντὶ) Σπαρνοπόλιος.

Σπαρτοπώλης, ου (ὁ). ὁ πωλῶν σπάρτα (σχοινιὰ ἢ ὁποιαδήποτε πλέγματα ἀπὸ σπάρτον).

Σπαρτός, ή, όν. Σπαρμένος ἢ Σπειρόμενος. »Ἀσπάραγος —,« Ἀθ. ‖. (οὐσ. πληθ. οὐδ.) Σπαρτά,« Βυζ., τὰ κατ' ἔτος σπειρόμενα γεννήματα. 2) σποράδην κείμενος, σκορπισμένος. ‖. (ἰδιωνυμ.) Σπαρτοί, οἱ γεννηθέντες ἀπὸ τὰ ὀδόντια τοῦ δράκοντος τὰ ὁπ. ἔσπειρεν ὁ Κάδμος, (ἐν γέν. Π.) οἱ Θηβαῖοι.

Σπάρτος (ἡ καὶ ὁ), [σπείρω], εἶδ. ἢ γέν. φυτοῦ θαμνώδους μὲ φύλλα ὡσὰν τοῦ σχοίνου, (κοιν.) σπάρτον. 2) (συνκδχ.) = Σπάρτη, σχοῖνος (ἀπὸ σπάρτον).

Σπαρτοφόρος (ὁ, ἡ). ὁ φέρων (παράγων) σπάρτον.

†Σπαρτοχαίτης, ου (ὁ), ἐσφαλμ. ἀντὶ Σπαρτιοχαίτης.

Σπαρτῶς, ἐπίρ. = Σποράδην, σκορπιστά.

Σπάσις, εως (ἡ), τὸ οὐσ. τοῦ Σπάω, τράβηγμα, τέντωμα. »Τῶν ὀρνέων τὰ μακραύχενα πίνει σπάσει,« Ἀρστ., ῥουφηκτά. 2) (ἰατρ.) ἀντὶ Σπασμός.

Σπάσμα (τὸ) μέρος ἢ πρᾶγμα ἐσπασμένον (τραβηγμένον μὲ βίαν)· (ἰατρ.) πόνος ἐσωτερικὸς ἐξ αἰτίας τεντώματος τῶν μυώνων· σπασμός. 2) κομμάτι πράγματος σπασμένου, θραῦσμα. »Θωράκων σπάσματα σιδηρῶν,« Πλ. 3) ἡ κόψις (τὸ ἄλλ. Στόμα) τοῦ σπαθιοῦ.

Σπασματώδης, εος (ὁ, ἡ). ὅμοιος σπασμῷ (σπάσματι) ἢ συνωδευμένος μὲ σπασμούς, σπασμώδης.

Σπασμὸς (ὁ), = Σπάσις, τράβηγμα, τέντωμα· (ἰατρ.) τράβηγμα ἀκούσιον τῶν νεύρων ἢ μυώνων μέλους τινὸς ἢ ὅλου τοῦ σώματος, (Γαλλ.) convulsion (ἰδιαιτ.) ἔντασις τοῦ αἰδοίου. »Ἦ πού πρὸς ὄρθρον σπασμὸς ὑμᾶς λαμβάνει;« Ἀρσφ.

Σπασμώδης, εος (ὁ, ἡ), = Σπασματώδης, σπασμωδικός.

Σπασμωδέως, Ἰων. ἀντὶ-

Σπασμωδῶς, ἐπίρ. Ἐν εἴδει σπασμοῦ ἢ μετὰ σπασμῶν.

Σπαστικός, ή, όν. Ὁ ἔχων τὴν ἰδιότητα τοῦ ἕλκειν (τεντόνειν κτλ.). 2) ὑποκείμενος εἰς σπασμούς, σπασμωδικός.

Σπατάγγης καὶ

Σπάταγγος ἢ Σπάταγος (ὁ), εἶδ. μεγάλων θαλασσ. ἐχίνων.

Σπαταλάω-ῶ, Μ. ήσω. Ἐξοδεύω εἰς τρυφὰς (εἰς φαγοπότια), ἀσωτεύω· (ἐνίοτε) ἀτακτῶ. »Τὰ σπαταλῶντα τῶν παιδίων,« Ἐπιστ., [ἐκ τοῦ

Σπατάλη (ἡ) [σπαθάω]. ἡ ὑπὲρ τὸ δέον δαπάνη εἰς τρυφὰς (εἰς φαγοπότια κτλ.), ἀσωτεία, πολυτέλεια. 2 (συνκδχ.) φόρεμα σπαταλῶντος, στολίδιον πολυτελές. »Χεῖρα περισφίγξω χρυσοδέτῳ σπατάλῃ,« Ἐπγρ., χρυσῷ βραχιολίῳ, (παρβλ. Σπατάλιον).

Σπατάλημα (τὸ). ἔργον σπατάλης, ἀσώτευμα.

Σπατάλιον (τὸ), εἶδος γυναικείου κοσμήματος, βραχιόλιον, (παρβλ. Χλιδών).

Σπαταλός, ή, όν. Ὁ βυθισμένος εἰς τὴν σπατάλην, τρυφηλός, ἐξοδευτής, ἄσωτος.

Σπατάλων, ωνος ἢ Σπαταλῶν, ῶνος (ὁ), = Σπαταλός.

†Σπατεῖος [σπάτος], α, ον. Δερμάτινος.

†Σπατίζω [σπάω], Μ. ίσω. Τραβῶ τὸ πετσί· ἀρμέγω, βυζάνω.

Σπατίλη (ἡ), [σκῶρ, σκατός]. ὑγρὰ κόπρος (ἀνθρπ.), τσίρλα. 2) [σπάτος] κοψίδι ἢ ἀπόξυσμα δέρματος.

†Σπατίλουρος (ὁ, ἡ). [σπατίλη, οὐρά]. ὁ κοπρίζων (τσιρλίζων) τὴν οὐράν του.

†Σπάτος, εος-ους (τὸ), Βοιωτ. ἀντὶ Σκάτος, δέρμα.

†Σπατόω-ῶ, Μ. ώσω. Βοιωτ. ἀντὶ Σκατόω, (ὅθεν Νεασπάτωτος).

Σπάω-ῶ, Μ. σπάσω (πθ. πρκ. Ἔσπασμαι). Τραβῶ (ὡς ἐπὶ τὸ πλ. μσ.) τραβῶν ἐβγάζω, ἀνασπῶ, ξεῤῥιζόνω· (συνκδχ. ἐν γέν.) παίρνω· (ἐνίοτε) ῥοφῶ· (ἰατρ.) προξενῶ σπασμούς. »Σπασάμενος τανύηκες ἄορ,« Ὅμ. »Τὸ ξίφος ἐσπᾶτο,« Ἀρσφ. »Σπασάμην λύγους,« Ὀδ. Κ. »Σὺν πυκινῇσιν ἔσπασα ῥίζῃς,« Θκρ. »Τὸ σκέλος ἔσπασε φεύγων,« Πλ., ἔβγαλε τὸ πόδι του. (καὶ πθ.) »Τὸν μηρὸν σπασθῆναι,« Ἡρ. »Γυναῖκες ἀνδρῶν σπῶνται μᾶλλον,« Ἀρετ., ὑπόκεινται πλειότερον εἰς σπασμούς, εἶναι σπασμωδικώτεραι. »Τὰ ὑποζύγια σπώμενα ὁμοίως τοῖς ἐπιληπτοις,« Θφρ. (καὶ μτφορ.) »Καθήμεθα σπώμενοι,« Ἐπίκτ., ὑπὸ μυρίων περισπασμῶν βασανιζόμενοι (ἀπασχολούμενοι). »Τοὺς πλείονος ἀκράτου σπῶντας,« Ἀθ. (καὶ ἐλλ.) »Λαβὼν ποτήριον, ἔσπασε γενναίως,« αὐτ. »Μικρὸν ἐσπάσαντο ὕπνου,« Ἡλ., ἐπῆραν ὀλίγον ὕπνον. »Οὐκ ἔσπασε ταύτῃ γε,« Ἀρσφ. (παροιμ.) δὲν ἐπέτυχε, δὲν ὠφέλησε, (κοιν.) δὲν ἔπιασεν (ἀπὸ μτφορ. τῶν ἁλιευόντων).

(Σπέας), ατος (τὸ), Π. (ἄχρ. ὀνμας. τῆς σπνt. δοτ. Σπεάτεσσι), = Σπεῖος, σπήλαιον.

Σπεῖο, Π. Ἰων. ἀντὶ Σποῦ, ἀόρ. β'. τῆς προσ. τοῦ Ἕπομαι.

Σπεῖος, εος-ους (τὸ), Ἰων. ἀντὶ Σπέος.

Σπεῖρα ἢ ;Σπείρα [εἴρω], ας (ἡ). (ἐν γέν.) πᾶν ὅ,τι εἶνε συνεστραμμένον ἢ περιτυλιγμένον ἑλικοειδῶς· σγουρὸν μαλλιοῦ· κύκλος τὸν ὁπ. σχηματίζει μὲ τὸ σῶμά μου περιστρεφόμενον τὸ φεῖδι· ἕλιξ (Γαλλ. volute) ἐπισυλίου· ῥόζος ἐξ αἰτίας συστροφῆς τῶν φλεβῶν τοῦ ξύλου· δεμάτι σχοινιῶν τὸ ὁπ. ἀφίνει νὰ σύρεται ὄπισθεν τοῦ πλοίου ἵνα μετριάζῃ τὴν ὁρμήν του ἐν καιρῷ τρικυμίας· λωρὶ μὲ τὸ ὁποῖον ἐτύλιζαν τοὺς γρόνθους των οἱ πυγμάχοι· πανὶ ἢ ἄλλο τι κουλουριασμένον τὸ ὁποῖον βάλλουν εἰς τὸ κεφάλι των οἱ σηκόνοντες φορτίον κτλ., (ἴδε ἢ Σπεῖρον). 2) (παρὰ Ῥωμ.) σῶμα στρατιωτῶν (τὸ τριακοστημόριον τοῦ λεγεῶνος), (Λτ.) manipulus, (Γαλλ.) cohorte, (παρβλ. διὰ τὴν ἐτυμολογ.) Ἴλη.

Σπειραία (ἡ), εἶδ. θάμνου (ἀκανθ.) μὲ συνεστραμμένους σπόρους.

Σπείραμα (τὸ), Π. [σπειράω]. πᾶν ὅ,τι εἶναι τυλιγμένον ἑλικοειδῶς (κουλουριασμένον)· κύκλος φειδιοῦ· σπεῖρα (στρατ.) κτλ., (ἐνίοτε) = Σπεῖρον, σπάργανον. (εἰς τὸν Νίκ. Ἀλ. 417) σπέρμα, (ἴδε τὸ ἐπμ.).

Σπείρασις, εως (ἡ), τὸ οὐσ. τοῦ Σπειράω, κουλούριασμα, κουβάριασμα. »Σπέρμα ὠνομάσθαι τὴν ἐπὶ μικρὸν ὄγκον ἐκ πολλοῦ σπείρασιν,« Πλ.

Σπειραγθής, έος (ὁ, ἡ), Π. (ὄφις κτλ.) ὁ σχηματίζων μὲ τὸ σῶμά του πολλὰς καὶ βαρείας σπείρας, κινούμενος σπειροειδῶς.

Σπειράω-ῶ, Μ. ήσω. Τυλίζω (Συστρέφω) εἰς εἶδος σπείρας, κάμνω κουβάρι, κουλουριάζω » Σχοινίου ἐσπειραμένου ὡς ὄφεως, « Σξτ. (ϗ πθ) » Ῥακίοις ἐσπειραμένοι, « Νικ. Χων.

Σπειρηδόν, ἐπίρ. Σπειροειδῶς· (ἐπὶ στρατ.) κατὰ σπείρας, (δηλ.) ἀνὰ τριάκοντα.

Σπείρημα (τὸ), Π. Ἰων. ἀντὶ Σπείραμα.

Σπειρίον (τὸ), ὑποκορ. τοῦ Σπεῖρον, φόρεμα (κυρ. ἐλαφρόν, καλοκαιρινόν).

Σπειροειδής, έος (ὁ, ἡ, καὶ ἐπίρ. -ειδῶς. Ὁ ἐν εἴδει σπείρας, ἑλικοειδής.

†Σπειροκέφαλον (τὸ), (Ἐπγρφ.) σπεῖρα (volute) κιονοκράνου.

Σπεῖρον (τὸ), Π. [σπεῖρα]. (ἐν γέν.) πανὶ διὰ τύλιγμα· περιβλημα, φόρεμα· (κυρ.) παλαιόπανον· (ἐπὶ νεκροῦ) σάβανον· (ἐνίοτε) πανὶ ἢ (;) σχοινὶ τοῦ καραβιοῦ. » Νηῶν ὅπλα, πείσματα καὶ σπεῖρα ϗ ἐρετμά, « Ὀδ. Ζ.

Σπειροπώλης, ου (ὁ). ὁ πωλῶν σπεῖρα (πανιὰ ἢ παληόρουχα).

Σπειροπῶλις, ιδος (ἡ), θηλ. τοῦ Σπειροπώλης. » Ἀγορά —, « Πλδ., ὅπου πωλοῦνται παληόρουχα, Γαλλ.) friperie, (εἰς τὴν Κωνς. εἶνε τὸ) ψειροπάζαρον.

Σπεῖρος, εος-ους (τὸ), Π. ἀντὶ Σπεῖρον, φόρεμα, ποὺκάμισον (μτνμ.) » Σπείρεα βολβῶν, « Νικ., τὰ κρομμυδότσεφλα.

Σπειροῦχος (ὁ, ἡ), Π. [σπεῖρα, ἔχω] ὁ διαγράφων σπείρας (ἕλικας, καμπύλας γραμμάς). » Καρκίνον —, « Ἐπγρ., ὁ διαβήτης.

Σπειρόω-ῶ, Μ. ώσω, = Σπειράω. 2) = Σπαργανόω.

Σπείρω [συγγ. τῷ Σπαίρω], Μ. σπαρῶ (ἀόρ. Ἔσπειρα, πρκ. Ἔσπαρκα καὶ πθ. Ἔσπαρμαι, ἀόρ. πθ. Ἐσπάρην καὶ τὸ θετ. Σπαρτέον). (ἐν γέν.) Σκορπίζω, διασπείρω, (ἐπὶ ῥευς.) ῥαντίζω· (ἰδιαιτ. καὶ συνήθ.) σπέρνω, (κατ' ἔκτ.) φυτεύω· (μτνμ.) τεκνοποιῶ.

Σπειρώδης, εος (ὁ, ἡ). ὁ ἔχων (περιτυλιγμένος μὲ) πολλὰ σπεῖρα. » Σκιλλης κόρση —, « Νικ., ἴδε Σπεῖρος.

Σπεῖσαι, ἀόρ. ά. τῆς ἀπαρ. καὶ

Σπείσασκε, Π. Ἰων. ἀντὶ Ἔσπεισε, γ'. ἑν. πρσ. τοῦ ἀορ. α. τῆς ὁρ. τοῦ Σπένδω.

;Σπεῖσις, εως (ἡ), τὸ σπένδειν ἢ σπένδεσθαι, χύσιμον σπονδῆς· (συνκδχ.) συμβιβασμὸς, φιλίωσις.

Σπειστέον, θετ. τοῦ Σπένδω.

Σπείσω, μέλλ. τοῦ Σπένδω.

Σπεκλόω-ῶ, Μ. ώσω, κατὰ μτθσ. ἀντὶ Σπλεκόω, (ὅθεν

Σπέκλωμα (τὸ), ἀντὶ Σπλέκωμα.

Σπέλεθος (ὁ), = Πέλεθος.

;Σπέληξ(λληξ), ηκος (ὁ), = Σπέλεθος.

Σπένδεσκε, Π. Ἰων. ἀντὶ Ἔσπενδε, γ'. ἑν. πρσ. τοῦ πρτ. τοῦ

Σπένδω, Μ. σπείσω (πρκ. Ἔσπεικα ϗ πθ. Ἔσπεισμαι). (ἐν γέν.) Χύνω ὀλίγον κατ' ὀλίγον, ῥαντίζω· (ἰδιαιτ.) χύνω τι (προσφέρω) ἐν εἴδει σπονδῆς· (μτγν. ἐν γέν.) θυσιάζω. » Σπένδων αἴθοπα οἶνον ἐπ' αἰθομένοις ἱεροῖσιν, « Ἰλ. Δ. (καὶ δοτ.) » Οὐκ εἶχον μέθυ λεῖψαι ἐπ' αἰθομένοις ἱεροῖσιν, ἀλλ' ὕδατι σπένδον, « Ὀδ. Μ. καὶ ὄργαν.) » Χρυσέῳ δέπαϊ σπένδων, « Ἰλ. Ψ. (καὶ περιπ.) » Δῶσω τοι καλὸν ἄλεισον, ἵνα σπένδησθα θεοῖσιν, « Ὀδ. Α. (καὶ χωρὶς πτ.) » Σπείσας ἔπιεν οἶνον, « Ὀδ. Σ (καὶ μσ.) » Ὡς δὲ ἀφῃρέθησαν αἱ τράπεζαι, ἐσπείσαντο καὶ ἐπαιάνισαν, « Ξεν. (ϗ προθετ.) » Σπένδων ἐκ χρυσέης φιάλης ἐς τὴν θάλασσαν, εὔχετο, « Ἡρ. (καὶ μτνμ.) » Μὴ σπεῖσαι δεύτερα φίλτρα γάμου, « Ἐπγρ., νὰ μὴ θυσιάσῃς, (δηλ.) νὰ μὴ δευτεροϋπανδρευθῇς. (καὶ πθ.) » Ἐγὼ γὰρ ἤδη σπένδομαι, « Γρφ., πλησιάζει ὁ καιρὸς νὰ θυσιασθῶ. 2) (μσ.) κάμνω σπονδὰς συμφωνῶ εἰρήνην, συμμαχίαν κτλ.) πρός τινα, φιλιόνομαι, συμβιβάζομαι. (μὲ δοτ.) » Περὶ πλείστου ἐποιεῖτο, εἴ τῳ σπείσαιτο, καὶ εἴ τῳ ὑπόσχοιτό τι, μηδὲν ψεύδεσθαι, « Ξεν. (ἢ προθετ. αἰτ.) » Σπεισαμένους πρὸς ἀλλήλους, « Ἰσκρ. (καὶ αἰτ. προσδιορ. τοῦ ἀντικειμ.) » Τριήκοντα ἔτεα εἰρήνην αὐτοῖσι σπεισάμενοι, « Ἡρ. » Λόγος ἦν, σὲ καὶ πόσιν τὸν σὸν νεῖκος ἐσπεῖσθαι, « Εὐρ. (καὶ κατ' ἐπ.β) » Σπονδὰς τρίτας τάσδε σπένδεται, « Θκ. (ϗ χωρὶς πτ.) » Πολέμιοι ἄνθρωποι καὶ σπένδονται αὖθις, ϗ πιστοὶ γίνονται, « Ξεν. (καὶ πθ.) » Ἐσπείσθησαν ἀνοχαί, « Ηλ. (καὶ μτνμ.) » Ἡ ἤδη ἡ ναῦς τῶν ἐπίπλων γυμνή· ὁ δὲ χειμὼν οὐκ ἐσπένδετο, « Ἀχιλ. Τάτ.

Σπέος, [συγγ. τῷ Σπάω], σπέεος-έους (τὸ), Π. σπήλαιον.

Σπέραδος, εος (τὸ), Π. ἀντὶ Σπέρμα.

Σπερχδὴν [σπέρχω], ἐπίρ. Μετὰ σπουδῆς, μὲ βίαν, μὲ ὁρμήν.

Σπέρμα (τὸ), τὸ σπειρόμενον· σπόρος (φυτοῦ ἢ ἀνθρ.)· σποριχόν· (μτνμ.) υἱὸς, ἀπόγονος· γένος, γενεά· καταγωγή. » Σπέρμα κηρύκων, « Εὐρ., περιφρ. ἀντὶ Κήρυκες, (παρβλ. Παῖς) (καταχρ.) » Πυρὸς —, « Ὀδ. Ε., ὁ σπινθὴρ, τὸ ἔναυσμα.

Σπερματοραιολεκιθολαχανοπῶλις, ιδος (ἡ), Κωμ. ἡ πωλοῦσα εἰς τὴν ἀγορὰν εὐτελῆ ὄσπρια καὶ λάχανα.

Σπερμαίνω, Μ. ανῶ, Π. ἀντὶ Σπείρω (κυρ. ἐπὶ τῆς σημασ. τοῦ) παιδοποιῶ. » Γενεὴν —, « Ησ. 2) (μτγν. ἐπὶ φυτ.) σποριάζω.

Σπερματίας, ου (ὁ). ὁ ἔχων (περιέχων) σπέρμα. » Σικυὸς —, « Ἀθ., ὁ (ἄλλ.) Πέπων, (ἀντιθ. τῷ Εὐνουχίας).

Σπερματίζω, Μ. ίσω. Χύνω ἢ Κάμνω σπέρμα, εἶμαι (ἐβγαίνω) εἰς τὸν σπόρον, σποριάζω. » Ἡ κριθὴ παρεστηκυῖα, ϗ τὸ λῖνον σπερματίζον, « Γρφ.

Σπερματικός, ή, όν. Ὁ ἀνήκων εἰς τὸ σπέρμα. » Ἀγγεῖα σπερμ., « Ἀνατομ., τὰ περιεκτικὰ τοῦ σπέρματος. » Λόγοι σπερμ., « Στωϊκ., οἱ ἐνυπάρχοντες ὡς σπέρματα (ἀρχαὶ ἢ αἰτίαι γονιμότητος) εἰς τὴν ὕλην.

Σπερματικῶς, ἐπίρ. Ἐν εἴδει σπέρματος· (μτνμ.) στοιχειωδῶς· (ἐπμ.) συντόμως, ἐν παρόδῳ. » Λέγειν —, « Κλμ.

Σπερμάτιον (τὸ), ὑποκορ. τοῦ Σπέρμα.

;Σπερματίς, ίδος (ἡ). (φλὲψ) ἡ περιεκτικὴ τοῦ σπέρματος, (κατά τινας ἐσφαλμ. ἀντὶ Σπερματῖτις).

Σπερματισμός (ὁ), τὸ σπερματίζειν, ῥεῦσις σπέρματος· (βτν. εἰς τὸ πλθ.) φυτὰ τὰ ὁπ. σπείρονται πρῶτα ἵνα μεταφυτευθῶσιν ἔπειτα ἀλλοῦ, (κοιν.) φυτοί.

Σπερματίτης, ου (ὁ) καὶ

Σπερματῖτις, ιδος (ἡ), = Σπερματικός. » Φλὲψ —, « Ἀρστ., ἴδε Σπερματίς.

Σπερματολογέω-ῶ, Μ. ήσω, = Σπερμολογέω.

Σπερματολόγος (ὁ, ἡ), = Σπερμολόγος.

†Σπερματοπώλης, ου (ὁ, ἡ). ὁ πωλῶν σπέρματα (σποριχά).

Σπερματοῦχος (ὁ, ἡ). ὁ ἔχων σπέρμα, περιεκτικὸς σπέρματος.

Σπερματοφάγος (ὁ, ἡ). ὁ τρώγων (τρεφόμενος μὲ) σπέρματα.

Σπερματοφυέω-ῶ, Μ. ήσω, = Σπερμοφυέω, [ἐκ τοῦ

Σπερματοφυής, έος (ὁ, ἡ), = Σπερμοφυής.

Σπερματόω-ῶ, Μ. ώσω Πληρῶ σπέρματος, σπέρνω· (πθ.) σποριάζω. » Ἐάν τις ἀποκνίζῃ καὶ ἀφαιρῇ τὸ ἄνθος καὶ μὴ ἐᾷ σπερματοῦσθαι, « Θφρ.

Σπερματώδης, έος (ὁ, ἡ). ὁ ἐκ τοῦ εἴδους τοῦ σπέρματος, σπέρματι ὅμοιος· (μτφορ.) μὴ ἀνεπτυγμένος, στοιχειώδης. » Ὅσα σπερματωδέστερα καὶ οὐκ ἐξειργασμένα συνέγραψαν οἱ παλαιοί, « Ἀρτμδρ.

Σπερμάτωσις, εως (ἡ), τὸ οὐσ. τοῦ Σπερματόω, καταβολὴ σπέρματος, σπαρσιμον· σπόριασμα.

Σπερμεῖον (τὸ), Π. ἀντὶ Σπέρμα.

Σπέρμειος, α ἢ ος, ον καὶ

;Σπέρμιος (ὁ, ἡ), Π. ἐπίθετ. ὁ Ἀπόλλων καὶ ἡ Δήμητρα ὡς ἔφοροι καὶ γονιμοποιοὶ τῶν σπερμάτων.

Σπερμοβολέω-ῶ, Μ. ήσω. Βάλλω (Χύνω, Σπείρω) σπέρμα.

Σπερμογονέω-ῶ, Μ. ήσω. Γεννῶ (Παράγω) σπέρμα, εἶμαι σπερμογόνος.

Σπερμογονία (ἡ), τὸ οὐσ. τοῦ προηγ., γένεσις (καταβολὴ) σπέρματος.

Σπερμογόνος (ὁ, ἡ). ὁ γεννῶν (παράγων) σπέρμα, σπέρματος γόνιμος.

Σπερμολογέω-ῶ, Μ. ήσω Συλλέγω (πρὸς τροφήν μου, Τρέφομαι καθὼς μερικὰ πτηνὰ μὲ) σπέρματα. 2) (μτνμ.) φλυαρῶ (ϗ μὲ αἰτ. συῤῥάπτω τι) ὡς σπερμολόγος.

Σπερμολογία (ἡ). τὸ ἔργον (ὁ χαρακτὴρ) τοῦ σπερμολόγου, φλυαρία, βωμολοχία.

Σπερμολογικός, ή, όν. Σπερμολόγου ἴδιος, βωμολοχικός, φλυαρώδης.

Σπερμολόγος (ὁ, ἡ). ὁ συλλέγων (τρεφόμενος καθὼς μερικὰ πτηνὰ μὲ) σπέρματα· (μτνμ.) βωμολόχος, παράσιτος, φλύαρος. » Ῥήματα σπερμολόγα, « Ηλ., σπερμολογίαι.

†Σπερμονόμος (ὁ, ἡ). ὁ τρεφόμενος μὲ (νεμόμενος τὰ) σπέρματα, = Σπερμολόγος.

;Σπερμουχέω-ῶ, Μ. ήσω. Ἔχω σπέρμα, εἶμαι σπερματοῦχος.

Σπερμοφαγέω-ῶ, Σπερμοφαγία, Σπερμοφάγος, = Σπερματοφαγέω κτλ.

Σπερμοφορέω-ῶ, Μ. ήσω. Φέρω (Ἔχω ἢ Κάμνω) σπέρμα, σποριάζω.

Σπερμοφόρος (ὁ, ἡ). ὁ φέρων (παράγων) σπέρμα, κάμνων σπόρον. 2) ὁ περιέχων σπέρματα (γεννήματα), δεκτικὸς ἢ χωρητικὸς σπερμ. » Ἤπειρη —, « Ἐπγρ.

Σπερμοφυέω-ῶ, Μ. ήσω. Φύω σπέρμα εἶμαι -

Σπερμοφυής, έος (ὁ, ἡ). ὁ φύων (κάμνων) σπέρμα· (πθ.) ὁ φυτρώνων ἀπὸ σπόρον.

Σπερχνός, ή, όν. Ταχὺς, ὀξὺς, σφοδρὸς, ὁρμητικός. » Ἔγχος (» Νόσος, » Ὀδύνη) —, « Ησ., Ἱππκρ. 2) (ἐνίοτε ἐνεργ.) κατεπείγων. » Ἄγγελος —, « Αἰσχλ., [ἐκ τοῦ

Σπέρχω, Μ. σπέρξω (πθ. ἀόρ. Ἐσπέρχθην). Βιάζω τινὰ νὰ τρέχῃ, ἐπισπεύδω, κατεπείγω· (ἀμτβτ. ἢ πθ.) σπεύδω, προθυμοῦμαι, βιάζομαι, ἐρεθίζομαι. » Καί τε κύων σπερχθεῖσα τυφλὴν προέηκε γενέθλην, « Παροιμ., ἡ σκύλ' ἀπ' τὴν βιά' της γεννᾷ τυφλὰ τὰ παιδιά της. » Κροῖσος δὲ σπερχθεὶς, εἶπε, « Ἡρ., στενοχωρηθεὶς, ἀνυπομόνως (καὶ πρὸς δοτ.) » Κάρτα δεινὸν ἐποιήσατο, καὶ ἐσπέρχετο τῷ.., « Ἡρ., ἐθύμωσεν (ἐσυγχύσθη) ἐναντίον του.

Σπέσθαι, Π. ἀορ. β'. τῆς ἀπαρ. τοῦ Ἕπομαι.

Σπέσσι, Π. ἀντὶ Σπέεσι, δοτ. πλθ. τοῦ Σπέος.

†Σπευδόντως, ἐπίρ. (μτγ.). Μετὰ σπουδῆς, ἐσπευσμένως.

Σπεύδω [ἕπομαι, ἐσπόμην], Μ. σπεύσω (μσ. πρκ. Ἔσπευσμαι). Ἐπείγω, βιάζω, ἐπιταχύνω· παρορμῶ, παροτρύνω (συχνότ. ἀμτβτ. ἢ ἐλλ. καὶ μσ. ἢ πθ., κάμνω ὀγλίγωρα, βιάζομαι· (μὲ αἰτ. προθετ. ἢ ἀπαρ. καὶ σπν. μὲ δοτ.) καταγίνομαι προθύμως (μὲ πολλὴν προσπάθειαν, εἶμαι προσηλωμένος) εἴς τι, (παρβλ.) Σπουδάζω· (Γρφ.) ταράττομαι. » Γάμον —, « Ὀμ., Ηρ. » Παῦσαι σπεύδων τὰ σπεύδεις, « Ηρ. (καὶ πθ.) » Ξυνὸν γὰρ τοῦτο πᾶσι ἀγαθὸν σπεύδεται, « αὐτ. (καὶ ἀμτβτ. ἢ ἐλλ.) » Σπεῦσε πονησάμενος τὰ ἃ ἔργα, « Ὑμ., (κατ' ἐναλλαγ.) ἀντὶ Ἐτελείωσε σπεύσας. (ϗ αἰτ. προθετ.) » Σπευδ. ἐς μάχην, « Ἰλ. Δ. » Ὅσοι δὲ χρηστοὶ δυνάμενοί τ' εἶναι σοφοὶ σιγῶσι κοὐ σπεύδουσιν ἐς τὰ πράγματα, « Εὐρ. (καὶ μσ.) » Σπευσόμεθ' ἐς Ἀχιλῆα, « Ἰλ. Ο. (καὶ ἐνν. τῆς προθ.) » Σπεύδουσι δ' οἱ μὲν ἴγδην, οἱ δὲ σίλφιον, οἱ δ' ὄξος, « Σολ. παρὰ) Πλδ. (ϗ συχνότ. πρὸς ἀπαρ.) » Σπεύδοντες ὡς τάχιστα ἐξελθεῖν, « Ξεν. (καὶ ἀπολ.) » Σπεῦδε βραδέως, « Παροιμ. » Ὅταν σπεύδῃ τις αὐτὸς, χὼ θεὸς ξυνάπτεται, « Αἰσχλ.

Σπευστέον, θετ. τοῦ Σπεύδω.

Σπευστικός, ή, όν (καὶ ἐπίρ.) -ικῶς. Ὁ συνήθως σπεύδων, ταχὺς, βιαστικὸς, (Γαλλ.) expéditif.

Σπευστός, ή, όν. Τὸν ὁπ. ἐπισπεύδει τις, ἐπιθυμητός.

Σπήεσσι, Π. ἀντὶ Σπέεσι, δοτ. πλθ. ϗ

Σπῆϊ, Π. Ἰων. ἀντὶ Σπέει, δοτ. ἑν. τοῦ (ἀχρ.) Σπῆος = Σπέος.

†Σπηλάδιον (τὸ), ὑποκορ. τοῦ Σπήλαιον.

Σπηλαιοειδής, έος (ὁ, ἡ). ὁ ἐν εἴδει σπηλαίου.

Σπήλαιον (τὸ), [σπέος]. κοίλωμα ὑπόγειον, σπηλιά· (Γρφ.) τὰ κρύφια μέλη. » Ὦ ὁ ποτίζων τὸν πλησίον αὐτοῦ ἀνατροπῇ θολερᾷ καὶ μεθύσκων, ὅπως ἐπιβλέπῃ ἐπὶ τὰ σπήλαια αὐτῶν, « Ἀββακ. Β'. ις'., (ὅπου ἄλλ. ἀνγν.) γυμνωσιν ϗ (ἄλλ.) ἀσχημοσύνην.

Σπηλυγγοειδής, έος ϗ

Σπηλυγγώδης, εος (ὁ, ἡ), = Σπηλαιώδης, [ἐκ τοῦ

Σπῆλυγξ, υγγος (ἡ), Π. ἀντὶ Σπήλαιον, (ὅθ. τὸ Λτν.) spelunca.

(Σπῆος), εος-ους (τὸ), Π. (ἄχρ. ὀνμς. τῆς δοτ. Σπῆϊ καὶ Σπήεσσι), = Σπέος, σπήλαιον.

†Σπίγγος (ὁ), Γλσ. ἀντὶ Σπῖνος.

Σπιδής, έος (ὁ, ἡ), Π. [σπίζω]. εὐρύχωρος, ἐκτεταμένος. » Διὰ σπιδέος (ἄλλ. γρφ. » Δι' ἀσπιδέος) πεδίοιο, « Ἰλ. Λ.

Σπίδιος, α, ον ϗ

†Σπιδνός, ή, όν ϗ

Σπιδόεις, εσσα, εν, Π. = Σπιδής, διεξοδικός· (συνκδχ.) σκοτεινὸς, (παρβλ.) Ἀχανής.

Σπιδόθεν [σπιδής], ἐπίρ. Π. ἀντὶ Μακρόθεν.

Σπίζα [σπίζω], ης (ἡ). (ἐν γέν.) κάθε μικρὸν πτηνόν· (ἰδιαιτ.) σπῖνος, (ὅθ.

Σπιζίας, ου (ὁ), εἶδ. μικροῦ ἱέρακος, (ὁ ὁπ. θηρεύει σπίνους.

Σπίζιον (τὸ), ὑποκορ. τοῦ Σπίζα.

Σπιζίτης, ου (ὁ). ὁ ἐκ τοῦ εἴδους τῆς σπίζης, ἰσομεγέθης μὲ σπίζαν. ‖. (οὐσ.) εἶδ. αἰγιθαλοῦ, (παρβλ.) Σπιζίας.

Σπίζω [ὀνμτπ.], Μ. σπίσω, = Πιππίζω, σφυράζω 'σὰν μικρὸν πουλί (καὶ ἰδιαιτ. 'σὰν σπῖνος). » Σπῖνος ἠῷα σπίζων, « Ἀρ.

†Σπίζω [σπάω], Μ. σπίσω, Γρμτ. ἀντὶ Ἐκτείνω, (θεμ. ἐπινοηθὲν πρὸς παραγ. διαφόρ. λέξ.).

;Σπιθαμαῖος, α, ον, ἀμφ. ἀντὶ Σπιθαμιαῖος.

Σπιθαμή (ἡ), [σπιδής]. τὸ ἀπὸ τοῦ μικροῦ δακτ. μέχρι τοῦ μεγάλου τῆς χειρὸς ἐκτεταμένης διάστημα, μέτρ. ἐκτάσ. (9 δακτ.), (κοιν.) πιθαμή. » Ἀνὴρ ἐγγέγλυπται, μέγεθος πέμπτης σπιθαμῆς, « Ηρ., 4 ½ ποδ.

Σπιθαμιαῖος, α, ον. Ὁ ἔχων μιᾶς σπιθαμῆς ἔκτασιν.

Σπιθαμώδης, εος (ὁ, ἡ). = Σπιθαμιαῖος.

Σπιλαδώδης, εος (ὁ, ἡ). πλήρης σπιλάδων ἢ ὅμοιος σπιλάδι

Σπιλάς, άδος (ἡ). (ἐνν. πέτρα) βράχος καταφαγωμένος ἀπὸ τὰ κύματα (κυρ. γεμάτος σπίλους, κηλῖδας ἐξ αἰτίας τοῦ ἐπιφυομένου βρύου). » Φασὶ δὲ καὶ νήεσσιν ἀλιπλανέεσσι χερείους τὰς ὑφάλους πέτρας τῶν φανερῶν σπιλάδων, « Ἐπγρ. » Ὅθι φῶκαι τίκτουσιν ἐνὶ σπιλάδεσσιν ἐρήμοις, « Καλλ. 2) = Σπῖλος, κηλίς. » (Λίθον) κατάστικτον σπιλάδεσι πυρσῇσιν, λευκαῖς τε μελαινομέναις χλιεραῖς τε, « Ὀρφ. (καὶ μτφορ.) » Οὗτοί εἰσιν ἐν ταῖς ἀγάπαις ὑμῶν σπιλάδες, « Γρφ., κηλῖδες, αἴσχη. 3) (ἐπιθετ.) » Γῆ —, « Θφρ., ἡ χρησιμεύουσα πρὸς καθαρισμὸν σπίλων, ἀργιλώδης.

Σπίλος (ἡ), Π. ἀντὶ Σπιλάς, βράχος.

Σπίλος ἢ (ἐσφαλμ.) Σπῖλος (ὁ), [συγγ. τῷ Πελὸς καὶ Πινος], = Κηλὶς, λέρα ἡ ὁπ. δυσκόλως ἐβγαίνει εἰς τὸ πλύσιμον, (Τουρκ.) λεκές· (μτφορ.) αἶσχος. » Τὴν Ἐκκλησίαν μὴ ἔχουσαν σπίλον ἢ ῥυτίδα, « Γρφ. 2) = Σπιλάς. » Ἀλίμενος ἡ χώρα καὶ.. ῥαχίαις ϗ σπίλοις ἀπρόσιτος, « Ἀῤῥ.

Σπιλόω-ῶ, Μ. ώσω, = Κηλιδόω, (Τουρκ.) λεκιάζω· (μτφορ.) μολύνω. » Ἡ γλῶσσα.. σπιλοῦσα ὅλον τὸ σῶμα, « Γρφ. (καὶ πθ.) » Μέλανι συνθήματι τὸ ὑπὲρ πῆχυν ἐσπίλωτο, « Ηλ. » Μέλαιναν ἐσπιλῶσθαι φυσικήν τινα κηλῖδα νομίζων, « Λκ. » Σπιλούμενον (κατά δ ο.θ. ἀντὶ Ὀφελιούμενον ἢ Ὁ Ψελιούμενον) τι γύναιον Πραξιτέλης ἐδημιούργησε, « Σατ. » Praxiteles fecit.. Spilumenem, « Plin. (ἀλλὰ τοῦτο φαίνεται ὅτι εἶνε Ψελιούμενον).

Σπιλώδης, εος (ὁ, ἡ), = Σπιλαδώδης.

†Σπίλωμα (τὸ), = Σπίλος, κηλὶς ἢ σπιλάς.

Σπιλωτός, ή, όν. Κηλιδωμένος, λεκιασμένος.

†Σπίνα, ης (ἡ), Γλσ. = Σπῖνος.

Σπίνδαλος (ὁ), εἶδος πτηνοῦ. » Ἔστι δὲ ἐμφερὲς τῷ Ἀτταγᾷ τοῦτό γε, Αἰλ.

Σπινθάριγξ, ιγγος ϗ

Σπινθαρίς, ίδος ϗ

Σπινθάρυξ, υγος (ἡ), Π. ἀντὶ -

Σπινθήρ, ῆρος (ὁ). σπίθα, τσιμπλίδα.

Σπινθηρακίζω, Μ. ίσω, = Σπινθηρίζω.

Σπινθηράκιον (τὸ), ὑποκορ. τοῦ Σπινθήρ.

Σπινθηράκισμα (τὸ), σπινθηροβόλημα.

Σπινθηρακώδης, εος (ὁ, ἡ), = Σπινθηροειδής, σπιθηροβόλος.

Σπινθηριάω-ῶ, Μ. άσω, = τῷ

Σπινθηρίζω, Μ. ίσω, = τῷ

Σπινθηροβολέω-ῶ, Μ. ήσω. Σπινθῆρας βάλλω (ἐκβάλλω), σπιθοβολῶ.

Σπινθηροβόλος (ὁ, ἡ). ὁ σπινθηροβολῶν (ἐβγάζων φωτιαῖς, τσιμπλίδαις).

Σπινθηροειδής, έος (ὁ, ἡ). σπινθῆρι ὅμοιος (τὸ εἶδος), σπινθηροβόλος.

Σπινθηροπομπός (ὁ, ἡ), = Σπινθηροβόλος.

Σπινίδιον (τὸ), ὑποκορ. τοῦ

Σπινίον (τὸ), ὑποκορ. τοῦ

Σπῖνος (ὁ), [ὀνμτπ. ἴδε Σπίζω], εἶδος μικροῦ κελαδιστικοῦ πτηνοῦ, (κοιν.) σπίνος. 2) εἶδος λίθου ὁ ὁπ. ἀνάπτει μὲ τὸ νερὸν ('σὰν τὸν ἀσβέστην), καὶ 3) εἶδος ὀρυκτοῦ (στυπτηρίας).

†Σπινός, ή, όν ϗ

Σπινώδης, εος (ὁ, ἡ), (νλγ.) ἀντὶ Ἰσχνός.

Σπλαγχνεύω ϗ (μσ.) -εύομαι, Μ. εύσω, -ομαι. Γεύομαι τῶν σπλάγχνων τοῦ θύματος (μετὰ τὴν θυσίαν). 2) μαντεύω παρατηρῶν ἢ ὁρκίζομαι κρατῶν τὰ σπλάγχνα τοῦ ἱερείου· σχίζω (ξεκοιλιάζω) ἐπὶ τῷ σκοπῷ τούτῳ τὸ θυσιασθὲν ζῷον.

Σπλαγχνίδιον (τὸ), ὑποκορ. τοῦ Σπλάγχνον.

†Σπλαγχνίζω, Μ. ίσω, (σπν. Γρφ.) ἀντὶ Σπλαγχνεύω 2) (συνήθ. μσ.) οἰκτεί-

ἐλαῖαι). ||. (ἰδιαιτ. οὐσ.) Στακτή, « Γρφ., τὸ ἀπὸ τῆς προσφάτου σμύρνης ἢ τοῦ κινναμώμου ἐκθλιβόμενον εὐῶδες ἔλαιον. » Τῆς σμύρνης ἡ μὲν, στακτή, ἡ δὲ, πλαστή, « Θφρ. (καὶ πλθ.) » Στακτά, « Πλάτ., τὰ ῥητινώδη ἀρώματα, βάλσαμα κλπ.

Στάλα, ας (ἁ), Δ. ἀντὶ Στήλη.

Σταλαγέω-ῶ, Μ. ήσω, Π. ἀντὶ Σταλάζω.

Στάλαγμα (τό). ὑγρὸν σταλάζον ἢ κατασταλαγμένον, λαγάρα· σταλαγμός.

Σταλαγμιαῖος, α, ον. Ὁ πίπτων κατὰ σταλαγμούς· ἴσος σταλαγμῷ.

Σταλαγμίας, ου (ὁ). ὁ σχηματισμένος διὰ σταλαγμῶν, σταλακτός. ||. (οὐσ.) – Σταλακτίς.

Σταλαγμὸς (ὁ). τὸ σταλάζειν, λαγάρισμα, κατασταλαγμα. 2) (συνήθ.) – Σταγών, σταλαγματιά.

Σταλάζω, Μ. άξω, – Στάζω, (ἐπμ.) λαγαρίζω, καταστάλαζω.

Σταλακτικός, ή, όν. Ὁ ἔχων τὴν ἰδιότητα νὰ στάζῃ (νὰ σταλάζῃ).

Σταλακτίς, ίδος (ἡ), – Σταλακτή. ||. (οὐσ.) ἡ καθαρὰ (λαγαρισμένη ἐκ φύσεως) χαλκανθος.

Σταλακτός, ή, όν, – Στακτός, πίπτων ἀπὸ στάλα-στάλα.

Σταλάσσω καὶ (Ἀττ.) -ττω, Π. άξω καὶ

Σταλάω, Π. ἀντὶ Σταλάζω.

†Σταληδών, όνος (ἡ). ῥανὶς (στάζουσα), σταλαγμός.

Σταλῆναι, πθ. ἀόρ. β΄. τῆς ἀπαρ. τοῦ Στέλλω.

;Στάληξ, Στάλυξ.

Σταλίδωμα (τὸ) καὶ

Στάλιξ, ικος (ἁ), Δ. ἀντὶ-

Σταλίς, ίδος (ἡ). κοντάρι ἢ παλοῦκι τὸ ὁπ. κρατεῖ στημένα τὰ κυνηγ. δίκτυα, (παρβλ.) Σχαλίς, [κυρ. – τῷ

Σταλίς, ίδος (ἡ), Δ. ἀντὶ Στηλίς.

Σταλουργός (ὁ, ἁ), Δ. Π. ἀντὶ Στηλουργός.

Στάλσις, εως (ἡ), τὸ οὐσ. τοῦ Στέλλω, ἀναστολή.

Σταλτέος, α, ον, θετ. τοῦ Στέλλω.

Σταλτικός, ή, όν. Ὁ ἔχων τὴν ἰδιότητα τοῦ στέλλειν (συστέλλειν), στυπτικός.

;Σταλύζω, Μ. ύξω, Π. ἀντὶ Σταλάζω.

†Στάλυξ, υγος (ἡ), Γλσ. – Σταλαγμός.

Σταμὶν ἢ (ὀρθότ.) Σταμὶς [ἵστημι], ῖνος (ἡ). (κυρ. εἰς τὸ πληθ.) τὰ ὀρθὰ (ἢ, κατ᾽ ἄλλ. πλάγια) ξύλα ἐπὶ τῶν ὁπ. στηρίζονται αἱ ἐπηγκενίδες (ἴδε τὴν λέξ. ἢ παρβλ. Ἐγκοίλιον) τοῦ πλοίου.

Σταμνάριον (τό), ὑποκορ. τοῦ

Σταμνίον (τὸ) καὶ

Σταμνίσκος (ὁ). σταμνάκι, (ὑποκορ. τοῦ

Στάμνος (ὁ ἢ σπν. ἡ), [;ἵστημι ἢ ;συγγ. τῷ Ἄμνιον]. στάμνα, σταμνί, κρασολάγηνον.

Στάν, Π Αἰολ. ἀντὶ Ἔσταν – Ἔστησαν, γ΄. πλθ. πρσ. τοῦ ἀορ. β΄. τῆς ὁριστ. ἢ 2) οὐδ. τοῦ ἀορ. β΄. τῆς μτχ. τοῦ Ἵστημι.

†Στανύω, (Ἐπγρφ.) Κρητ. ἀντὶ Ἵστημι, συνιστῶ.

Στάξ, σταγὸς (ἡ), Π. ἀντὶ Σταγών.

Στάξις, εως (ἡ). τὸ στάζειν (μτβτ. ἢ ἀμτβτ.), στάξιμον (κυρ. αἵματος ἀπὸ τὴν μύτην), ματωμα τῆς μύτης.

Στάς, στᾶσα, στάν, ἀόρ. β΄. τῆς μτχ. τοῦ Ἵστημι.

Στάς, ατὸς (τό), Ἀττ. ἀντὶ Σταίς.

Στασιάζω, Μ. άσω. Κινῶ στάσιν (Σχηματίζω φατρίαν, Ἐπαναστατῶ) κατά τινος· εὑρίσκομαι εἰς ἐσωτερικὰς ταραχὰς (εἰς διχόνοιαν, εἰς ἐμφύλιον πόλεμον)· (μτνμ.) διαφωνῶ, διαφέρομαι, (σπν. μτβτ.) διεγείρω εἰς ἀποστασίαν. (μὲ δοτ. ἢ προθετ. αἰτ.) » Στασιάζειν τινὶ ἢ πρός τινα ἢ (σπν.) ἐπί τινι, « Ξεν., Ἡρ. (ἢ χωρὶς πτ.) » Ἐστασίασεν ἡ πόλις, « αὐτ. » Ἐπεὶ Κῦρος ἐτελεύτησεν, εὐθὺς αὐτοῦ οἱ παῖδες ἐστασίαζον, « αὐτ. (καὶ μτνμ.) » Στασιάζει αὐτῷ πρὸς τὴν γλῶτταν ἡ γνώμη, « Συν., δὲν συμφωνοῦν οἱ λόγοι του μὲ τὰ φρονήματά του, ἄλλα ἔχει εἰς τὸν νοῦν καὶ ἄλλα εἰς τὸ στόμα. » Σῶμα νοσῶδες στασιάζει αὐτὸ αὐτῷ, « Πλάτ. (καὶ μτβτ.) » Οὐδεὶς ἑταίραις ὁμιλῶν.. στασιάζει τὰ κοινά, « Ἀλκ.

Στασιάρχης καὶ Στασίαρχος, ου (ὁ). ἀρχηγὸς στάσεως (φατρίας, ἀποστασίας).

Στασιασμὸς (ὁ), τὸ στασιάζειν, φατρία, διχόνοια, ἐπανάστασις.

Στασιαστής, οῦ (ὁ). ὁ στασιάζων, κινῶν (ἢ εὑρισκόμενος εἰς στάσιν), (εὐχρηστότ.) Στασιώτης.

Στασιαστικός, ή, όν. Ὁ ἀνήκων ἢ ἐπιτήδειος ἢ ἐπιρρεπὴς εἰς τὸ στασιάζειν, ἐπαναστατικός· δημεγέρτης, φιλοτάραχος.

Στασιαστικῶς, ἐπίρ. Μὲ στασιαστικὸν (δημεγερτικὸν) τρόπον, ἐπαναστατικῶς. » Στασ. ἔχω πρός τινα, « Δξ., – Στασιάζω.

Στάσιμος, η ἢ ος, ον. Ὁ δυνάμενος σταθῆναι, χαμωμένος εἰς τρόπον ὥστε νὰ στέκεται, ἑδραῖος, βάσιμος· (ἐπὶ ὑδάτ.) ἀκίνητος, (κοιν.) στεκάμενος (» Ὁ Φᾶσις στασιμώτατος τῶν ποταμῶν, « Ἱππκρ.)· (συνκδχ.) βαρύς, ἐμβριθής, μεγαλοπρεπὴς ἢ ἠρεμαῖος, ἀτάραχος· (τρπ.) εὐσταθής, (Γαλλ., rassis) (ἐπὶ κακοῦ) νωθρός, ἀργοκίνητος. » Οὐδ᾽ ἄλλως στάσιμος ὢν τὸ ἦθος, ἀλλ᾽ ἀνώμαλος καὶ παράφορος, « Πλ. » Τὸ στάσιμον αὐτῷ καὶ δυσκίνητον, οὐκ ἀργόν ἐστιν, « αὐτ. » Ἡ ὑποδωριστὶ (ἁρμονία μέλος ἔχει) μεγαλοπρεπὲς καὶ στάσιμον, « Ἀρς. » Τὸ ἡρωϊκὸν μέτρον στασιμώτατον ἢ ὀγκωδέστατον, « αὐτ. » Στάσιμον (μετὰ καὶ χωρὶς τοῦ) μέλος, « τὸ ᾆσμα τὸ ὁποῖον ἔψαλλεν ὁ χορὸς ἀφ᾽ οὗ ἐτοποθετεῖτο εἰς τὴν ὀρχήστραν, (ἀντιθ. τῷ Πάροδος). 2) (σπν. ἐνεργ.) ὁ ἔχων τὴν ἰδιότητα τοῦ σταματᾶν, προξενῶν ἀκινησίαν. » Τὸ ψυχρὸν ἔοικε στάσιμον εἶναι, κινητικὸν δὲ τὸ θερμόν, « Ἀρστ. (καὶ μὲ γεν.) » Στάσιμος αἵματος, « Ἱππκρ., – Ἴσχαιμος. 3) (ἐνίοτε) ζυγιστός, ἐπιδεκτικὸς ζυγίσματος, (ὅθ. ἀρχ. Ἀττ. Νμ.) » Ἀργύριον στάσιμον, « Ασ., τὸ δανειζόμενον (διότι κατὰ τὸν Ἡσύχ., » Ἐπὶ σταθμῷ πάλαι ἐδάνειζον).

Στασίμως, ἐπίρ. Μὲ τρόπον στάσιμον, μονίμως, βεβαίως κτλ.

Στασιοκοπέω-ῶ, Μ. ήσω. Διεγείρω στάσεις (ταραχάς), (παρβλ.) Δημοκοπέω.

Στασιοποιέω-ῶ, Μ. ήσω, – τῷ προηγ.

Στασιοποιός (ὁ, ἡ). στάσεως πρόξενος, στασιαστικός.

Στάσις [ἵστημι], εως (ἡ). (σπν. μτβτ.) στήσιμον· τοποθέτησις. » Δικτύων –, « Ξεν. » Εἰκόνος χρυσῆς (» Ἀνδριάντων κτλ.) –, « Δ. Ἁλ., Πλ. 2) (συνήθ. μτβ.) στάσιμον, τρόπος ἢ τόπος τοῦ ἵστασθαι· θέσις· τοποθεσία. » Ὁρᾶτε τοὺς πύκτας περὶ τῆς στάσεως πρὸς ἀλλήλους ἀγωνιζομένους, « Αἰσχ. » Ἵνα ᾖ ἄδηλος ἡ στάσις τῆς ποδοστράβης, « Ξεν. » Ἐκεῖ ἑστηκὼς θέρους· κἀγὼ γὰρ εἶχον τὴν στάσιν ταύτην ποτέ, « Ἀρφ. » Ἡ στάσις, ἣν αὐτίκα στήσῃ μετὰ τὸ βάπτισμα πρὸ τοῦ βήματος, « Γργ. » Στάσιν ὑπερδέξιον ἔχοντες, « Διοδ. » Ἔνθ᾽ ὅσων ἵππων τε στάσεις, « (Ἐριππ. παρ᾽ Ἀθ.), – Ἱπποστασία. (καὶ μτνμ.) » Ὅταν τις ἣν δεῖ στάσιν ἔχῃ ἐν τῷ βίῳ, « Ἀρρ., (ὅθεν 3) (τὸ ἐναντ. τῆς κινήσεως) ἠρεμία, ἀκινησία. » Τὴν στάσιν στέρησιν λέγουσιν κινήσεως, ὥσπερ τοῦ φωτὸς τὸ σκότος, « Πλ. » Ἐν στάσει τὸ ἠρεμοῦν, « Λογγ. » Στάσεις λαμβάνειν (τὰ ὀνόματα) ἰσχυράς, « Δ. Ἁλ., ἀναβολάς, διαστάσεις. 4) (γεωγρ. ἢ ἀστρον.) θέσις, κλῖμα, κατάστασις (τῆς ἀτμοσφαίρας). » Εἰ ἡ στάσις ἤλλακτο τῶν ὡρέων, καὶ τοῦ οὐρανοῦ τῇ νῦν ὁ βορέης ἕστηκε, ταύτῃ τοῦ νότου ἦν ἡ στάσις, « Ἡρ. » Ἀέρος στάσις, « Ἱππκρ., ἡ κρᾶσις. » Τῶν ἐτησίων ἤδη στάσιν ἐχόντων, « Πλβ., – Ἐπεχόντων, κατάστασιν λαβόντων. » Ἐπιχώριοι γὰρ οὐ μόνον τὰς τῶν ἀνέμων στάσεις, κατὰ τὴν παροιμίαν, κάλλιστα γινώσκουσιν, « αὐτ.

5) παῦσις· σταμάτισμα, ἀνάπαυσις. » Ἀέρος –. « Σχλ. Θκ., Συν. » Οὐδὲ ἐκεῖ οὐκ ἀναπαύσει σε, οὐδ᾽ οὐ μὴ γένηται στάσις τῷ ἴχνει τοῦ ποδός σου, « Γρφ., ἢ 6) διάρκεια. » Ἀνέμου –, « Σδ., (τὸ ὁπ. ἠμπορεῖ νὰ ἀναχθῇ καὶ εἰς τὸ 7) (συχν.) διχόνοια, διαφωνία· (ἰδιαιτ.) διαίρεσις τῶν πολιτῶν εἰς δύο ἐναντία κόμματα, φατριασμός· φατρία, συμμορία· ἐπανάστασις· ἐπιβουλή, συνωμοσία (;). » Στασιαζόντων τῶν παράλων καὶ τῶν ἐκ τοῦ πεδίου Ἀθηναίων, Πεισίστρατος καταφρονήσας τὴν τυραννίδα, ἤγειρε τρίτην στάσιν, « Ἡρ. » Ἢ φίλους ἢ πόλιν εἰς στάσιν ἐμβάλλοντος, « Θκ. » Ἀγαθὸς πολίτης... ὁ ἐν δημηγορίᾳ στάσεις τε παύων καὶ ὁμόνοιαν ἐμποιῶν, « Ξεν. » Ναί, λόγος κρατεῖ σαφηνὴς τοῦτο κοὐκ ἔνι στάσις, « Αἰσχλ. » Ἐπεὶ δὲ πολλὴ στάσις ἐστί, καὶ οἱ μὲν φασιν, οἱ δ᾽ οὔ, « Αρτ. (καὶ μτνμ.) » Γίνεταί τις ἀνέμου στάσις, ἔχουσα τηλικαύτην φοράν, ὥστε τὰς στοὰς σαλεύειν, « Πλβ. 8) (ἐνίοτε) ζύγισμα, στάθμισις· (συνκδχ.) πλήρωμα (» Μισθοῦ –, « Ἱππ.)· (μουσ.) ῥύθμισις, τόνισμα. » Μελῶν –, « Ἀρφ., (παρβλ. Στάσιμος 1). 9) (σπν. καὶ ἀμφ.) δέσις ποταμοῦ, πρόχωμα, ἢ· (κατὰ τὸν Φωτ.) σπαρτά, φυτεῖαι, δενδροφυτεῖαι. » Διὰ τῶν πεδίων ἔρρει, καί, τῆς στάσεως παρασύρων, ἐφόρει τὰς δρῦς καὶ τὰς πλατάνους, « Ἀρφ., (ἀλλὰ τοῦτο ἠμπορεῖ νὰ ἐξηγηθῇ ἢ ἁπλῶς) τῆς θέσεως των. » Ταύτᾳ τᾷ μερίδι ποτεδασσάμεθα τὰν πράταν (δευτέραν κτλ.) στάσιν τῶν ἀμπέλων, « Ἐπγρφ. 10) ῥτρ.) ἡ ὑπόθεσις (τὸ θέμα) τῆς δίκης, (Γαλλ.) l' etat de la question. » Στάσις ἐστὶ φάσις τουτὶ πεπρᾶχθαι ἢ πληρῆναι, ἢ ποιότητος ἐξαίτησις, « Σωπατρ. εἰς Μαρκελλῖν.

Στασιώδης, εος (ὁ, ἡ), καὶ ἐπίρ. -ωδῶς, – Στασιαστικός, φιλοτάραχος.

;Στασιωρὸς (ὁ), Π. φροντιστὴς (ἐπιμελητὴς) τῆς στάνης (τοῦ μανδρίου). » Τὸ μηλοβάτα στασιωρὸς Κύκλωπος, « Εὐρ. (οὕτω διώρθ. ὁ Heath, συναινοῦντος ἢ τοῦ Both, ἀντὶ Στασιωρον).

Στασιωτεία (ὁ). ὁ χαρακτὴρ καὶ ἡ διαγωγὴ τοῦ στασιώτου.

Στασιώτης, ου (ὁ). ὁ ἀνήκων εἰς στάσιν, (φατρίαν) τινά, μέλος (τῆς αὐτῆς) συμμορίας, συνωμότης. 2) (σπν.) – Στασιώδης.

Στασιωτικός, ή, όν. Στασιώτου ἴδιος, στασιαστικός, δημεγερτικός. » Στασιωτικὸν δὲ καὶ τὸ μὴ ὁμόφυλον, ἕως ἂν συμπνεύσῃ, « Ἀρστ. » Λόγος (» Καιρὸς) – , « Θκ. » Τὸ στασιωτικόν, « (περιληπτ.) Οἱ στασιῶται ἢ Τὸ στασιαστικὸν πνεῦμα. » Ἀντειπόντος αὐτῷ κατὰ τὸ στασιωτικόν, « Θκ.

Στασιωτικῶς, ἐπίρ. Ὡς στασιώτης, φατριαστικῶς.

Στάσκε, Π. Ἰων. ἀντὶ Ἔστη, γ΄. ἑν. πρσ. τοῦ Ἵστημι.

Στατέον, θετ. τοῦ Ἵστημι.

Στάτευσις, εως (ἡ), – Σταθευσις, [ἐκ τοῦ

Στατεύω, Μ. εύσω, – Σταθεύω

Στατὴρ [ἵστημι], ῆρος (ὁ). (ἐν γέν.) – Σταθμὸς 6), (ὅθ. τὸ κοιν. στατέρι. » Ὁ δὲ χρυσοῦς στατὴρ μνᾶν ἠδύνατο· καὶ γὰρ ἐν τοῖς ἱσταμένοις τὴν μνᾶν τῆς ῥοπῆς στατῆρα ὀνομάζουσι, καὶ ὅταν εἴπωσι πεντεστάτηρον, πεντάμνουν δοκοῦσι λέγειν, « Πλδ. » Κρόκης πέντε στατῆρας εἶχεν, « (Εὔπολ. παρὰ τῷ) αὐτ. 2) νόμισμα ἢ ἀργυροῦν (εἰς τὰς Ἀθ. – Τετράδραχμον) ἢ συχνότ. χρυσοῦν (διαφόρου ἀξίας: ὁ Περσικὸς [ἄλλ. Δαρεικὸς] ἢ Κυζικηνὸς ἦτον ὁ μεγαλήτερος [28 δραχμ.], καὶ ὁ Φωκαϊκὸς ἢ Φωκαΐτης ἢ Φωκαεὺς ὁ μικρότερος· ὁ δὲ Ἀττικὸς ἐζύγιζε δύω δραχμὰς ἢ ἄξιζεν εἴκοσι). » Στατῆρσι δ᾽ οἱ θεράποντες ἀρτιάζομεν, « Ἀρφ. » Εἰ μὲν χρυσοῦς εἴποις, προσυπακούεται ὁ στατήρ· εἰ δὲ στατήρ, οὐ πάντως ὁ χρυσοῦς, « Πλδ. » Εἰ δὲ καὶ Δαρεικός τις εἶπεν, ὁ χρυσοῦς προσηκούετο. « αὐτ. (ἐλέγετο δὲ) » Στατὴρ χρυσοῦς (καὶ) χρυσοῦ (καὶ) χρυσίου (ἢ) ἐκ χρυσίου. « 3) Δ. χρεώστης. » Πολλοὶ στατῆρες, ἀποδοτῆρες οὐδ᾽ ἂν εἷς, « Ἐπίχ.

Στατηριαῖος, α, ον. Ἑνὸς στατῆρος ἄξιος (ἰσότιμος).

Στατίας ἢ Στατίας, ου (ὁ), Ἀττ. ἀντὶ Σταιτίτης.

Στατίζω, Μ. ίσω, Π [στατός]. σταματῶ, (καὶ αμτβτ. ἢ μσ.) στέκομαι πουθενά.

Στατικός, ή, όν, (καὶ ἐπίρ.) -ικῶς. Ὁ ἔχων τὴν δύναμιν (τὴν ἰδιότητα) τοῦ σταματᾶν, (ἰατρ.) – Σταλτικός. » Κοιλίας –, « Δσκρ. ||. (οὐσ.) Στατικὴ (ἐνν. πόα), εἶδος χόρτου στυπτικοῦ. 2) ὁ ἀνήκων ἢ ἐπιτήδειος εἰς τὸ ζύγισμα. » Τὸ βαρὺ καὶ κοῦφον στατικὸς διακρίνει, « Πλάτ. » Στατικὴ (ἐπιστήμη). « Πλδ., ἡ περὶ τῆς βαρύτητος καὶ ἰσορροπίας τῶν σωμάτων, μέρος τῆς μηχανικῆς.

Στάτινος ἢ Στάτινος, η, ον, Ἀττ. ἀντὶ Σταίτινος.

Στατίτης, ου (ὁ), Ἀττ. ἀντὶ Σταιτίτης (ἐνν.) ἄρτος ἢ πλακοῦς στάτινος.

Στατός, ή, όν. Ὁ στεκόμενος. » Ἵππος –, « Ὅμ., ὁ τρεφόμενος εἰς τὸν σταῦλον. » Λίθος –, « Ἐπγρ., ὁ ἐπὶ μνήματος. » Ὕδωρ στατόν, « Σοφ., τὸ (ἄλλ.) Στάσιμον. ||. (οὐσ.) » Στατὸς (μετὰ ἢ χωρὶς τοῦ) χιτών, « Ἀρρ., Πλ., ὁ μὴ κάμνων δίπλαις (καθὼς π. χ. τὸ στιχάριον τῶν διακόνων). 3) εἶδος ἄρχοντος ὁποῖοι οἱ λεγόμενοι Ἀγαθοεργοί, (ἴδε τὴν λέξ. καὶ παρβλ. Ἐπιστατήρ). ||. (οὐσ.) ;Στατόν, τὸ πεντάμνουν, (ὅθ. Δίστατον, τὸ δεκάμνουν), παρβλ. Στατήρ.

†Σταυρηδόν, ἐπίρ. Εἰς εἶδος σταυροῦ ἢ σταυρῶν.

†Σταυρικός, ή, όν. Ὁ τοῦ σταυροῦ ἢ διὰ σταυροῦ.

†Σταυρικῶς, ἐπίρ. Διὰ σταυροῦ ἢ ἐν εἴδει σταυροῦ.

†Σταυρίον (τό), – Σταυρός.

†Σταυρογραφέω-ῶ, Μ. ήσω. Γράφω (Σημειόνω μὲ) σταυρόν.

†Σταυροδόχος (ὁ, ἡ). σταυροῦ ἢ τοῦ Σταυροῦ δεκτικὸς (χωρητικός).

Σταυροειδής, εος (ὁ, ἡ). (καὶ ἐπίρ.) -ειδῶς. Ὁ ἐν εἴδει (εἰς σχῆμα) σταυροῦ, σταυρωτός.

†Σταυρολάτρης, ου (ὁ). λάτρης τοῦ Σταυροῦ.

†Σταυρόμορφος (ὁ, ἡ), – Σταυρότυπος.

†Σταυροπαγής, έος (ὁ, ἡ). ὁ ἐπὶ σταυροῦ προσπαγεὶς (προσηλωθείς).

†Σταυροπάτης, ου (ὁ). ὁ καταπατήσας τὸν ἐπὶ τοῦ Σταυροῦ ὅρκον του, ἐπίορκος.

Σταυρὸς (ὁ), [ἵστημι]. παλοῦκι (κυρ. διὰ φράκτην). » Αἱ οἰκίαι κύκλῳ περιεσταύρωντο μεγάλοις σταυροῖς τῶν πλεθάτων ἕνεκα, « Ξεν. 2) (μτγν.) σταυρωτὸν παλοῦκι εἰς τὸ ὁπ. ἐκρεμνοῦσαν τοὺς κακούργους. » Τῶν κολαζομένων ἕκαστος κακούργων ἐκφέρει τὸν αὑτοῦ σταυρόν, « Πλ. 3) (Ἐκκλησ.) τὸ σημεῖον τοῦ τιμίου Σταυροῦ. » Σταυροὺς γράφειν (ποιεῖν κτλ.), « Βυζ., – Σταυρογραφεῖν.

†Σταυρότυπος (ὁ, ἡ), (καὶ ἐπίρ.) -τύπως. Ὁ ἔχων τύπον (σχῆμα) σταυροῦ.

†Σταυροφάνεια (τά), (ἐκκλησ.). ἡ φανέρωσις (ἀνεύρεσις) τοῦ Σταυροῦ.

;Σταυροφανής, έος (ὁ, ἡ), – Σταυροειδής, (ὅθεν

Σταυροφανῶς, ἐπίρ. Σταυροειδῶς.

†Σταυροφορέω-ῶ, Μ. ήσω. Φέρω (Κρατῶ) σταυρὸν ὡς

Σταυροφόρος (ὁ, ἡ). ὁ φέρων (κρατῶν) σταυρὸν ἢ τὸν Σταυρόν.

Σταυρόω-ῶ, Μ. ώσω. Περικλείω μὲ σταυροὺς (παλοῦκια). » Ξύλοις μεγίστοις ἢ ἀγκύραις τὰ βάθη ἐσταύρωσαν, « Διοδ. (καὶ πθ.) » Ὅσα ἐσταυρώθη τοῦ ὑποτειχίσματος, « Θκ. 2) κρεμνῶ ἢ καρφόνω εἰς τὸν σταυρόν. » Τοὺς δὲ αἰχμαλώτους ἐσταύρωσαν, « Πλβ.

Σταύρωμα (τό). τὸ διὰ σταυρῶν (πασσάλων) περίφραγμα, χαράκωμα, (Γαλλ.) palissade.

Σταυρώσιμος (ὁ, ἡ). ὁ ἀνήκων εἰς τὴν σταύρωσιν. » Ἡμέρα –, « Ἐκκλησ., ἡ παρασκευή.

Σταύρωσις, εως (ἡ), τὸ οὐσ. τοῦ Σταυρόω, ἡ διὰ σταυρῶν (σκολόπων) περίφραξις, ἢ· ἡ ἐπὶ σταυροῦ προσήλωσις, σταύρωμα.

†Σταυρωτήρ, ῆρος (ὁ), Γλσ. ἀντὶ Σταυρωτήρ.

Σταυρωτής, οῦ (ὁ). ὁ σταυρόνων (προσηλόνων ἐπὶ σταυροῦ).

Σταφιδευταῖος, α, ον. Ὁ ἐκ σταφιδωμένων σταφυλῶν. » Τρὺξ –, « Ἱππκρ.

Σταφίδιον (τό), ὑποκορ. τοῦ Σταφίς.

Σταφίδιος (ὁ, ἡ) καὶ

Σταφιδίτης, ου (ὁ) ἢ Σταφιδῖτις, ιδος (ἡ). ὁ ἐκ σταφίδων. » Οἶνος –, « Ἱππκρ.

Σταφιδοποιία (ἡ). κατασκευὴ σταφίδων.

Σταφιδόω-ῶ, Μ. ώσω. Κάμνω (Ξηραίνω ὡς ἂν) σταφίδα· (πθ.) σταφιδιάζω.

Σταφίς, ίδος (ἡ). σταφύλι στεγνωμένον εἰς τὸν ἥλιον, σταφίδα. » Σταφὶς ἀγρία (ἢ Π. ἀγροτέρη), « Δσκρ., Νίκ., ἡ (παρ᾽ ἡμῖν μονολεκτ.) ἀγριοσταφίδα, εἶδος φυτοῦ.

Σταφυλάγρα, ας (ἡ), καὶ

Σταφυλεπάρτης, ου (ὁ), ἐργαλ. χειρουργ. μὲ τὸ ὁπ. πιάνουν ἢ σηκόνουν τὸν σταφυλίτην, [ἄγρα, ἢ ἐπαίρω καὶ

Σταφυλὴ (ἡ). [συγγ. τῷ Στάχυς ἢ Στέμφυλον]. σταφύλι· σταφυλορρόγα· (μτνμ.) ὁ σταφυλίτης τοῦ λαιμοῦ· (κυρ. ὅταν πρησθῇ ἡ ἄκρα τῆς). » Σταφυλὴν γὰρ οὐ τὸ μόριον, ἀλλὰ τὸ πάθημα χρὴ ὀνομάζειν, « Ῥοῦφ. » Ὁκόσοισιν ἐν τῷ θηλάζειν τῶν νηπίων βὴξ προσγίνεται, σταφυλὴν εἴωθε μείζονα ἔχειν, « Ἱππκρ. Ὁ γαργαρεὼν πλεῦνα πάσχει πάθεα· ἢ γὰρ ἐπὶ φλεγμονῇ παχύνεται.. καὶ ἐρύθημα ἴσχει· κίων δὲ τοῖσδε τοῦ πάθεος ἡ ἐπίκλησις. Εἰ δὲ κατὰ πέρας μοῦνον στρογγύλεται καὶ μεγέθεϊ πελιδνὸς γίγνεται καὶ ὑπομελαΐζεται, σταφυλὴ ἐπώνυμον τόδε τὸ πάθος, « Ἀρετ. » Ἡ Σταφυλὴ καὶ ἡ Κιονὶς καὶ ἡ Ἱμὰς πάθη εἰσὶ τοῦ γαργαρεῶνος, « Ἐρωτ.

Σταφύλη (ἡ). ἡ κάθετος στάθμη (τὸ νεροζύγι τῶν οἰκοδόμων, (κυρ. δὲ) τὸ σταφυλοειδὲς μολύβι ὅπου εἶνε κρεμασμένον εἰς αὐτήν.

Σταφυληκόμος (ὁ, ἡ), Π. [σταφ. κομέω]. ὁ ἐπιμελούμενος (καλλιεργῶν) τὰς σταφυλάς, ἀμπελουργός.

Σταφυλητομία, Σταφυλητόμος, – Σταφυλοτομία, κτλ.

Σταφυληφόρος (ὁ, ἡ), – Σταφυλοφόρος.

Σταφυλίζω, Μ. ίσω. Μετρῶ (ἰσάζω) μὲ τὴν οἰκοδ. σταφύλην, (Γαλλ.) niveler.

